**Biblioteca estense universitaria**
Largo S. Agostino 337
I-41121 Modena MO
Tel ++39 + 59 222248
Fax ++39 +59 230195
b-este@beniculturali.it

bibliotecaestense.beniculturali.it

alfa.p.5.3

# Miscellanea greca: Anonymi florilegium ; Excerpta ex Salomonis Proverbiis, ex Ecclesiaste, ex Salomonis Sapientia, ex Ecclesiastico

Ms., 10.-11. sec.

Img: BEU, 2014

**Terms of use**
Using texts and images of the Estense Library is free - within the CC license terms - only for personal, private and non commercial use.
In the case of a non commercial, public use, their source must be cited, linking to the homepage of this site.
For any different purposes, or for getting higher resolution images, please follow the guidelines in the Reproductions page of the website, and/or write to b-este.urp@beniculturali.it.
**Creative Commons License**
This work is licensed under a Creative Commons Attribution-NonCommercial-NoDerivs 3.0 Italy License
http://creativecommons.org/licenses/by-nc-nd/3.0/it/deed.en

α. P. 5. 3.
(Gr. 111.)

cc. 199

[illegible] Astrologic

1

εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν αὐτ(ῶν)·
ἀλλὰ διὰ τὴν ἀνομίαν τῶν ἐθνῶν τού-
των κ(ύριο)ς ἐξολοθρεύσει αὐτοὺς πρὸ προσώπ(ου):

Κριτῶν Εἶπεν κ(ύριο)ς τοῖς υἱοῖς Ἰ(σρα)ήλ· ὑμεῖς ἐγκα-
τελίπετέ με καὶ ἐλατρεύσατε θεοῖς ἑτέροις.
διὰ τοῦτο οὐ προσθήσω τοῦ σῶσαι ὑμᾶς:—

Ἰὼβ πρόσωπον ἀσεβῶν ἀτιμίας ἐμπλησθήσονται:
πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι· ὅταν
δοκῇ ἤδη εἰρηνεύειν, ἥξει αὐτοῦ ἡ καταστροφή:—
ἐλπὶς ἀσεβοῦς ἀπολεῖται· ἀοίκητος δὲ
αὐτοῦ ἔσται ὁ οἶκος· ἀράχνη δὲ αὐτοῦ
ἀποβήσεται ἡ σκηνή:—

Δα(βί)δ Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον:
ἐν ὁμοιώματι μόσχου ἔσθοντος χόρτον.
ἐπελάθοντο τοῦ θ(εο)ῦ τοῦ σώζοντος αὐτ(ούς):

Παροιμ(ιῶν) ζωὴν ἀσεβῶν ἀνατρέψει κ(ύριο)ς:—
διωγμὸς ἀσεβῶν εἰς θάνατον:—
φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν·
φθέγγεται ὁ ἀσεβὴς μηδὲ πρὸς διακονί[illegible]:
ἀσεβὴς ἐλθὼν εἰς βάθος κακῶν [illegible]
τὰ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα:
κατάρα κ(υρίο)υ ἐν οἴκοις ἀσεβῶν [illegible]

Ἡσαΐου σεβῶν. ὁ μὴ [illegible]:— Ἐ[illegible]
ρη[illegible] αὐτοῖς, ἀλλά τοι παρ [illegible]

B.E.

σαν τό με. διὰ τοῦτο ἐγκατέλιπον τὸν οἶκόν μου :—
ἐντελοῦμαι τῇ οἰκουμένῃ κακά. καὶ τοῖς
ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν :—
Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι λέγει κς :—
ἱερεμ παιδεύσει σε ἡ ἀποστασία σου. καὶ ἡ κακία
σου ἐλέγξει σε :— ἀρνούμενοί σε εἰ
σοφίας σολομ δέναι ἀσεβεῖς. ἐν ἰσχύϊ βραχίονός σου
σιραχ ἐμαστιγώθησαν :— πένθος νεκροῦ.
ἑπτὰ ἡμέραι. τοῦ δὲ μωροῦ καὶ ἀσεβοῦς. πᾶ
σαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ :—
Οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν :—
εὐαγ Ὅστις ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνων.
ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν :—
βασι ἀσέβεια κυρίῳ μάχεται. καὶ εἰς θν ἁμαρτ :—
θεολ εἰ γὰρ τὰς πρὸς ἀνους συνθήκας ἐμ
πεδοῖ θεσμὸς παραλυθείς, πόσος
ὁ κίνδυνος τῶν πρὸς αὐτὸν ἐθέμεθα συν
θηκῶν. τούτων παραβάτας εὑρίσκεσθαι :—
ὑπερέχει τῶν κακῶν ἡ ἀσέβεια. καὶ μάλα ποτ
μηρὸν εἰς ἀναχώρησιν :—

— ∴ — ∴ — ∴ — ∴ — ∴ — ∴ —

## ε Περὶ ἀγάπης καὶ φόβου πρὸς τὸν θν :—

δευτερονομ ἀγαπήσεις κν τὸν θν σου. ἐξ ὅλης τῆς
διανοίας σου. καὶ ἐξ ὅλης τῆς ψυχῆς σου. καὶ

ἐξόμνιο τῆς δυνάμεώς σου:— Δαδ
μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν
κν:— θέλημα τῶν φοβουμένων αὐτὸν
σολ ποιήσει:— φόβος κυ. σοφία καὶ παιδεία:—
τέλος λόγου. τὸ πᾶν ἄκουε. τὸν θν φο
βοῦ. καὶ τὰς ἐντολὰς αὐτοῦ φύλασσε:—
ἀμμῶ
κομνη Κς ἐν μακροθυμίᾳ αὐτοῦ· ἐκραγήσεται ἀπὸ
προσώπου αὐτοῦ πᾶσα κτίσις:—
σιραχ Οὐδὲν κρεῖττον φόβου κυ. καὶ οὐδὲν γλυ
κύτερον προσέχειν ἐντολαῖς θυ:—
ἀγάπησον κν. καὶ ἐπικαλοῦ αὐτὸν εἰς σωτηρίαν
σου· ὀφθαλμοὶ γὰρ κυ. ἐπὶ τοὺς ἀγαπῶν
εὐαγγε τας αὐτόν:— ἐάν τις με ἀγαπᾷ. τὸν λό
γον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει
αὐτόν· καὶ πρὸς αὐτὸν ἐλευσόμεθα. καὶ μονὴν παρ' αὐ
ἀπο τῷ ποιήσομεν:— τοῖς ἀγαπῶσι τὸν
θν. πάντα συνεργεῖ εἰς ἀγαθόν:— ὁ
θς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ.
ἐν τῷ θῷ μένει· καὶ ὁ θς ἐν αὐτῷ μένει:—
βασι Οὐ πάντων θς. ὁ θς. ἀλλὰ τῶν οἰκειωθέν
των αὐτῷ διὰ τῆς ἀγάπης:— ἀγάπη ἐστί.
θεο σύνδεσμος τελειότητος:— δημι
χρ ουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη:— ἡ
τῆς ἀγάπης φιλία. κόρον οὐκ ἔχει· ἀλλὰ τῶν

ἀγαπωμένων ἀπολαύοντες. πρὸς μείζο-
να ἄρξεσθαι φιλίαν. καὶ τοῦτο ὁ πρόφιμος
Παῦλος εἰδώς, ἔγραφε· μηδενὶ μηδὲν
ὀφείλετε. εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους.
τοῦτο γὰρ μόνον τὸ ὀφείλημα. ἀεὶ μὲν κα-
ταβαλλόμενον. οὐδέποτε δὲ ἀποδιδόμενον:—

Φίρμου· Ἐν μὲν τοῖς ἄλλοις, τὸ μέτρον ἄριστον· ἐν
δὲ τῇ ἀγάπῃ, ὁ τὸ πλεῖον ἔχων θεοφιλέστερος:—

— sss — sss — sss — sss — sss —

λ̃ Περὶ τῶν μὴ φοβουμένων τὸν θ̅ν̅.
μηδὲ ἀγαπώντων αὐτόν:—

Δα̅δ̅ Οὐκ ἔστιν ὁ θ̅ς̅ ἐνώπιον αὐτοῦ· βεβηλοῦν-
ται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ:—
Οὐκ ἔστι φόβος θ̅ῦ̅ ἀπέναντι τῶν ὀφθαλ-
Μαλα μῶν αὐτοῦ:— Υἱὸς δοξάζει π̅ρ̅α̅. καὶ
δοῦλος τὸν κ̅ν̅ αὐτοῦ· καὶ εἰ π̅η̅ρ̅ εἰμι, ποῦ
ἐστιν ἡ δόξα μου· καὶ εἰ κ̅ς̅ εἰμι. ποῦ ἐστιν
ὁ φόβος μου λέγει κ̅ς̅ παντοκράτωρ:—

Βασι Τὸ ἁμαρτάνειν ἡμῖν. κατὰ ἀπουσίαν τοῦ
θείου φόβου ἐγγίνεται:—

— sss — sss — sss — sss — sss — ss —

ϛ Περὶ ἐλπίδος εἰς θ̅ν̅· καὶ ὅτι χρὴ
εἰς θ̅ν̅ ἐλπίζειν. καὶ μὴ εἰς τὰς
τῶν ἀνθρώπων προστασίας:—

εὐαγ ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ· ὅ
τι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν· οὐδὲ συ
νάγουσιν εἰς ἀποθήκας· καὶ ὁ πατὴρ ὑμῶν
βασι ὁ οὐράνιος τρέφει αὐτά:— Εἶπε δα͞δ
λειῶν πρὸς τὸν ἀλλόφυλον· σὺ ἔρχῃ πρός με, ἐν
ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι· ἐγὼ
δὲ προσέρχομαι πρὸς σέ, ἐν ὀνόματι κ͞υ σαβαώθ:—
δα͞δ τὸν ἐλπίζοντα ἐπὶ κ͞ν· ἔλεος κυκλώσει:—
ἀποκάλυψον πρὸς κ͞ν τὴν ὁδόν σου· καὶ ἔλ
πισον ἐπ᾽ αὐτόν:— ἀγαθὸν πεποιθέναι
ἐπὶ κ͞ν· ἢ πεποιθέναι ἐπ᾽ ἄν͞ο͞ν:—
σολ ἴσθι πεποιθὼς ἐπὶ κ͞ν ἐν ὅλῃ καρδίᾳ σου:—
σιρά· ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεὰς
βασι καὶ ἴδετε:— Πείσωμεν ἑαυτοὺς ἀδελ
φοί· ἐν καιρῷ πειρασμῶν μὴ πρὸς ἀνθρωπίνας
ἐλπίδας ἀποτρέχειν· καὶ ἐν τούτοις τὰς βοη
θείας θηρᾶσθαι· ἀλλ᾽ ἐν δάκρυσι καὶ στενα
γμοῖς καὶ φιλοπόνοις προσευχαῖς· καὶ ἀγρυπνίαις
ἐντόνοις· τὰς δεήσεις πρὸς θ͞ν ποιεῖσθαι:—
Ἐπαινῶ τὸν εἰπόντα· τὰς ἐλπίδας
εἶναι ἐγρηγορότων ἐνύπνια:—
θεολ Ἐπικουφίζουσι μέχρι μὲν μόνον ἡδονῆς·
λύπην δὲ ἡ κρείττων ἐλπίς:— μεγάλη
τοῖς ἀτυχοῦσιν ἐπικουρία· μεταμελείας ἐλπίς.

καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς κείμενον:—
πολλοῖς πρὸς ὅρμοις ἐμπεσὼν ἔδυ σκάφος.
πολλοὶ προσωρμίσθησαν ἐκ τρικυμίας:—
τῶν προσδοκωμένων ἀγαθῶν ἡ ἐλπίς, ἄν-
θος ἐστίν· δι᾽ ὃ ὧν τὸν καρπὸν, ϗ τὸ ἄνθος
δρεψόμεθα:— Οὐδὲν οὕτως τρέφει ἐν
κλίνῃ ὡς ἐλπὶς ἀγαθή, ϗ τὸ χρηστὰ προσδοκᾶν:—

φίλωνος· Ἐλπίς ἐστι, προπάθειά τις· χαρὰ πρὸ
χαρᾶς· ἀγαθῶν οἰκεία προσδοκία:—

μειλ. τὸ ἀπροσδόκητον κακὸν, θορυβεῖ πάντας
ἐμπεσόν· τὸ δὲ προσδοκηθὲν ἀπ᾽ ἐστὶ
πρὸς τὴν πεῖραν ἕτοιμον τὸν λογισμόν, καὶ
φορητὸν ποιεῖ τὸ δεινόν:— τὸ ἐλπισθὲν
ἀγαθὸν εἰς τοὐναντίον περιπεσὸν, ἀπα-

σωκράτους· ραμύθητον ἔχει τὸ πάθος:— Οὔτε
γυνὴ χωρὶς ἀνδρός, οὔτε ἐλπὶς χωρὶς

λευκίππου· πόνου, γεννᾷ τι χρήσιμον:— τὰ γὰρ
ἡδέα κἂν μὴ παρῇ, τέρπει ταῖς ἐλπίσιν:—

— ⸪ — ⸪ — ⸪ — ⸪ — ⸪ — ×

ς̃ Πε τῶν πεποιθότων ἐπὶ πλούτῳ ϗ ἀνοίᾳ.
Καὶ μὴ εἰς θεὸν τὴν ἐλπίδα ϗ πεποίθησιν ἐχόντων:—

παραλει πομέν· Εἶπεν ἀνανίας ὁ προφήτης· πρὸς ἀσὰ βασι-
λέα ἰούδα· ἐν τῷ πεποιθέναι σε ἐπὶ βασι-
λέα συρίας καὶ μὴ πεποιθέναι ἐπὶ κύριον τὸν θεὸν

σου. διὰ τοῦτο ἐσώθη ἡ δύναμις τῆς σω
ἰώβ. ρίας ἐκ χειρός σου:— αἰσχύνην
ὀφειλήσουσιν. οἱ ἐπὶ πόλεσι καὶ χρήμα
ΔΑΔ σι πεποιθότες:— ὄψονται δίκαιοι
καὶ φοβηθήσονται. καὶ ἐπ' αὐτὸν γελάσονται:—
ἸΕΡΕμ Ἐπικατάρατος ἄνος. ὃς τὴν ἐλπίδα
ἔχει ἐπ' ἄνον. καὶ στηρίσει σάρκα βραχίονος
αὐτοῦ ἐπ' αὐτόν. καὶ ἀπὸ κυ ἀποστῇ ἡ καρδία αὐτοῦ:—
ΝΕΙ Ὃς πορνεύει ἐπὶ τὸν στάρον. ἀκάθαρτος.
ἐπὶ τὸν στάρον δὲ πορνεύει. ὁ ταῖς χερσὶν
ἐπερειδόμενος. καὶ πᾶσαν ἐπ' αὐταῖς ἔ
χων τὴν πεποίθησιν:—

ζ

## Περὶ ἀρετῆς:—

εὐαγ στενὴ ἡ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγου
ἀπό σα εἰς τὴν ζωήν:— μὴ νικῶ ὑπὸ
τοῦ κακοῦ. ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ
ΣΙΡΑχ τὸ κακόν:— μὴ ποίει κακά. καὶ οὐ
ΒΑΣΙ μή σε καταλάβῃ κακά:— τί τιμιώτε
ρον ἀρετῆς. ἢ πλοῦτος:— μόνη κτη
μάτων ἡ ἀρετὴ. ἀναφαίρετον:— ἀρετῆς
ἄσκησις. τίμιον μὲν κτῆμα τοῖς ἔχουσι.
ἥδιστον δὲ θέαμα τοῖς ἐντυγχάνουσιν:—
Ὥσπερ γὰρ τοῖς περὶ αὐτομάτως [illegible] τὸ

φροντίζειν. καὶ τοῖς μωροῖς τὸ βουλεῖν.
οὕτως καὶ ταῖς ἀναγκαίαις πράξεσιν. ἀ-
ναγκαίως ἀκολουθεῖ τὸ ὠφέλιμον:–
τοῦτό ἐστιν ἀρετή· ἔκκλισις ἀπὸ κακοῦ. καὶ
ποίησις ἀγαθοῦ:– ἀρχὴ πρὸς τὴν
ἀνάληψιν τῶν καλῶν. ἡ ἀναχώρησις
τῶν κακῶν:– σπάνιον μὲν τοῦ ἀγαθοῦ
κτῆσις καὶ πρόσαντες. κἂν εἰ πολὺ τὸ
μεθελκὸν εἴη καὶ προκαλούμενον:–
Ἀρετὴν ἐπαινοῦμεν. ἐν ἐπαινουμένοις. παρ' οὐ
τοῖς ἄνοις ἡ ἀρετή:– ἄμισθος ἡ ἀ-
ρετή· ἡ μὲν καὶ ἀρετὴ μεγάλη. πρὸς τὸ καλὸν
μόνον ἀποβλέπουσα:– ποιεῖ γὰρ περὶ
πολίταις οὐ δικαίαν πρᾶξιν μόνον. ἀλλὰ καὶ
κακίαν ἐκκόπτουσα πονηρῶν ἀδοκίμησιν:–
Πέφυκεν ἀρετὴ κατευθύνειν τε καὶ κατα-
πλήττειν. καὶ τοῖς ἀνδιομένοις [illegible]:–
Οὐκ ἔστι τὸν ἀρετῆς ἐπιμελούμενον, μὴ
πολλοὺς ἔχειν ἐχθρούς· ἀλλ' οὐδὲν τοῦτο πρὸς
τὸν ἐνάρετον. διὰ γὰρ τῶν τοιούτων μᾶλ-
λον πρότερος ἔσται [illegible]:– ἡγοῦ τοί-
νυν· οὐ τὸ ἡμᾶς κολακευόμενον φίλον. ἀλλὰ τὸ
ἐξ ἀρετῆς κατορθούμενον. ἀρετὴ δὲ ἐκ
προαιρέσεως. καὶ οὐκ ἀνάγκης γίνεται:–

θεο

οὐχ ὁ τόπος τὴν ἀρετήν· ἀλλ' ἡ ἀρετὴ πέφυ-
φιλω κε τὸν τόπον σεμνύνειν :— Καλλίων
ἔξοδος· ἀρετῆς εἴσοδον ἐργαζομένη :—
νει χαῖρε τὴν ἀρετὴν ἡμῖν καὶ πράττης· ἀλ-
λὰ μὴ ἑταίρου· μή ποτε τὸ μάσοφον
Κυρίλ ἐν τοῖς μεμιγμένοις ἦται :— Χρὴ
λου τὴν ἀρετὴν μὴ χαμαλὴν καθ' ἕτερον·
ἀλλ' ἔργοις καὶ λόγοις· ὀρθὴν καὶ ἀπηρτισμέ-
νην κατὰ ἀμφότερα εἶναι :—
Οὐκ ἔστιν ἐκ τοῦ παραχρῆμα μανθάνειν
τὰς ἀρετάς· μικροῖς γὰρ ταῖς μάλισταν· πῶς
ἂν τις εὕροιτο πόνοισιν :— Τραχεῖα
ἡ ἀρετή· καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν· καὶ οὐ
κἄν τις εὕροιτο ταύτην, δίχα πόνου μακροῦ :—
Συνεσί· μισθὸς ἀρετῆς ἔπαινος :— Οἱ πονη-
πλου ροὶ τῶν ἀνθρώπων, κἂν χρηστότητα τιμᾶν ἐ-
ταρ παγγέλλωνται, διὰ τὸν τρόπον οὐ πιστεύονται :—
ἀνδριάντα μὲν τὸ σχῆμα· ἄνδρα δὲ ἡ
πρᾶξις κοσμεῖ :— Οὕτως ζῆν προ-
αιροῦ, ὡς μήτε ὑπὸ τῶν δυνατωτέρων
καταφρονεῖσθαι, μήτε τοῖς καταδεεστέ-
ροις φοβερὸς εἶναι :— Εὐσαι τὸ μὲν
Δημώ μον ὄζει, ἂν τὸ παρὸν εὖ τεθῇς :—
νακτ· τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσον

ἀνεφέλκυστος τῶν ἡδονῶν:— αἰσχρὸν μὲν

ἐν ἄλλοις ἀποδέχεσθαι τὰς ἀρετάς· ἐν ἑαυτοῖς

Βίαντος τοῖς δὲ ἔχειν τὰς κακίας:— ῥᾳδίως

ἐχθαίρει τοῖς πραττομένοις· ἐχθαιρήσαντας δὲ

Θεόγνιδος πράττειν ἑκουσίως:— πολλοὶ πλουτοῦ-

σι κακοί. ἀγαθοὶ δὲ πένονται· ἀλλ᾽ ἡμεῖς

τούτοις. οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν

πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί· χρή-

ματα δ᾽ ἀνθρώπων. ἄλλοτ᾽ ἄλλος ἔχει:—

Βουλοίμην δ᾽ ἂν περὶ ἀρετῆς μαρτυρηθῆ-

ναι μᾶλλον. ἢ περὶ πλούτου δι᾽ εὐκλείας· τὸ

μὲν γὰρ ψυχῆς ἀγαθῆς· τὸ δὲ τύχης περι-

ουσιαζούσης. ἀκόλουθον δόξει:— θυμὸν

Ἀριστοτέλους. ἐπὶ τὸ πράττειν ἀνακουφίσαι· σπουδῇ δὲ τὰ

δέοντα προθυμεῖσθαι:— Οἱ ἀγαθοὶ

Προκοπίου ῥήτορος. μὴ τὸ προσῆκον ποιοῦντες, παραδείγματα

πρόκεινται τοῖς πλημμελεῖν ἑκοῦσιν:—

ἀνδρὸς ἀρετήν, οὐκ ἀρχόμεναι δηλοῦσιν αἱ

πράξεις· ἀλλὰ τελευτῶσαι μηνύουσιν:—

Οὔτε σωμάτων τόνον ἀμβλιομονίαις· οὔτε πλοῦτος

χωρὶς ἀρετῆς ἡδονὴν ἔχει:— δῶρον ἄ-

ρα μεῖζον ἀρετῆς. οὐκ ἔστι παρὰ θεοῦ λαβεῖν:—

μία ἐστὶν ἀρετή· τὸ ἀπὸ πονηρῶν ἀναχωρεῖν:—

Τιμιώτερος τὸν ἐνθυμ ἀρείαν. ὅταν τῷ θεῷ τὴν

διάμοιαν ὁμοίως τῶν διὰ ἀρετῆς. μόνη γὰρ
ἀρετὴ τὴν τύχην ἕλκει πρὸς τὸ συγγενές :—

— sss — sss — sss — sss — sss — ss —×

## η̃: περὶ σοφίας. καὶ συνέσεως. καὶ φρονήσεως :— περὶ σοφίας

εὐαγγέ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις. καὶ ἀκέραι-
ἀπό οι ὡς αἱ περιστεραί :— μὴ παιδία γί-
νεσθε ταῖς φρεσίν. ἀλλὰ τῇ κακίᾳ νήπ :—
σολομ μακάριος ὃς εὗρε σοφίαν. καὶ θνητὸς ὃς εἶδε
φρόνησιν. κρεῖσσον γὰρ αὐτῆς ἐμπορεύε-
σθαι. ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς :—
ἀνὴρ φρόνιμος. κατευθύνων πορεύεται :—
κτῆσαι σοφίαν. καὶ κτῆσαι σύνεσιν. μὴ ἐπι-
λάθῃ. ἵνα δῷ τῇ σῇ κεφαλῇ. στέφανον
χαρίτων :— μετὰ σοφῶν. συμβουλεύ-
ου. καὶ μετὰ συνετῶν. ἔστω ὁ διαλογισμός σου :—
βασι σοφία ἐστίν. ἐπιστήμη θείων καὶ ἀνθρωπίνων
πραγμάτων. καὶ τῶν τούτοις αἰτίων :—
θεο ὁ γὰρ τὸ τοῦ ὄφεως φρόνιμον περὶ τὸ κακόν.
τὸ τῆς περιστερᾶς ἀκέραιον περὶ τὸ καλὸν
ἀναμίξας. οὔτε τὸ φρόνιμον ἐᾷ κακοῦρ-
γον γενέσθαι. οὔτε τὸ ἁπλοῦν ἀνόητον :—
ε ἔφησέ τις που τῶν φιλοσόφων τάδε.
φ θέλω τύχης σταλαγμὸν. ἢ φρενῶν πίθον. ἢ σ

μὴ παρούσης. δυστυχοῦσιν αἱ φρένες.
πρὸς ὅν τις ἂν τὸ φῶς τῶν φιλοφρόνων.
ἐρᾶν φρενῶν μοι μᾶλλον. ἢ πλούτου τύχης:—
Φίλωνος. φρόνησις. τῶν ἄλλων ἀρετῶν ἀρχή:—
Πλουτάρχ(ου). φρόνησις. εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζε-
ται· τύχη δὲ. φρόνησιν οὐ ποιεῖ:—
Σόλωνος. τοσοῦτο διαφέρει ὅσον μόνον τὴν φρόνησιν μέ-
γα τῶν ἀρετῶν. ὅσον ὅρασιν τῶν ἄλλων
Πυθαγόρου αἰσθήσεων:— Οὔτε ἵππον χωρὶς χα-
λινοῦ. οὔτε πλοῦτον δίχα φρονήσεως δυ-
Βίαντος νατὸν κρατεῖσθαι:— τὰ πολλὰ μαθήματα
οὔτε φρόνησιν διδάσκουσιν. οὔτε ἀφρο-
Σοφοκλέους. σύνην ἀφαιροῦνται:— Οὐ γὰρ οἱ
πλατεῖς. οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστα-
τοι· ἀλλ' οἱ φρονοῦντες εὖ. κρατοῦσι παν-
ταχοῦ· μέγας δὲ πλευρὰ βοῦς. ὑπὸ μικρᾶς
ὅμως μάστιγος. ὀρθὸς εἰς ὁδὸν πορεύε-
ται· ὁ γὰρ φρονῶν εὖ, πάντα συμμαθὼν ἔχει:—
Ἡροδότου Ἴσον ἐκεῖνο παρ' ἐμοὶ κέκριται· φρονεῖν τε
εὖ. καὶ τῷ λέγοντι χρηστὰ πείθεσθαι:—

* * *

## θ' Περὶ ἄφρονος καὶ ἀνοήτου· καὶ ἀπαιδεύτου καὶ μωροῦ:— καὶ μὴ π

Εὐαγγέ(λιον) πᾶς ὁ ἀκούων μου τοὺς λόγους καὶ μὴ ποιῶν αὐτούς.

πα ὁμοιωθήσεται ἀνδρὶ μωρῶι :— μὴ
παιδία γίνεσθε ταῖς φρεσίν. ἀλλὰ τῆι
κακίαι νηπιάζετε· ταῖς δὲ φρεσὶ τέλει-
σολο οι γίνεσθε :— Καρδία ἄφρονος. ὀδύνη
τῶι κτησαμένωι αὐτήν :— χείλη ἄφρο-
νος. καταποντίσουσιν αὐτόν. ἀρχὴ λόγων
στόματος αὐτοῦ. ἀφροσύνη :— ἀνὴρ ἄ-
φρων. ὀρύσσει ἑαυτῶι κακά· ἐπὶ δὲ τῶν ἑ-
αυτοῦ χειλέων. θησαυρίζει πῦρ :—
μετὰ ἄφρονος μὴ πληθύνηις λόγοις· καὶ πρὸς
ἀσύνετον μὴ πορεύου :— Οὐ χρείαν ἔχει
σοφίας ἐνδεὴς φρενῶν· μᾶλλον γὰρ ἄγεται
ιραχ ἀφροσύνηι :— ἐπὶ νεκρῶι κλαῦσον· ἐξέ-
λιπε γὰρ φῶς· καὶ ἐπὶ μωρῶι κλαῦσον· ἐξέλι-
πε γὰρ σύνεσις :— ἄμμον καὶ ἅλας καὶ
ὄγκον σιδήρου εὐκοπώτερον ὑπενεγκεῖν.
ἢ ἄνθρωπον ἄφρονα :— μὴ ὑποστρώσηις ἀνθρώπωι
θεο μωρῶι σεαυτόν :— ἄλογος νόμιζε. τὴν
πλου φρενῶν ἀκοσμίαν :— ὁ ὁδηγῶν τυφλὸν
αρχ [illegible] καὶ συμβουλεύων ἀνόητον. ἴσον ἐστίν :—
Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισίν· ὡς τοῖς ἀνοή-
τοις ἀνδράσιν. ἐπιτρόπου χρὴ παρεῖναι :—
εξ τῦ Οὔτε ἐν ἰχθύσι φωνήν. οὔτε ἐν ἀπαιδεύ-
τοις ἀρετὴν δεῖ ἐπιζητεῖν :—

## Περὶ βουλῆς· καὶ ὅτι χρὴ μετὰ βουλῆς καὶ σκέψεως πάντα ποιεῖν:–

Σολο Σωτηρία ὑπάρχει ἐν πολλῇ βουλῇ:– Μετὰ
βουλῆς πάντα ποίει· μετὰ βουλῆς οἰνοπότει:–
Πᾶς πανοῦργος πράσσει μετὰ γνώσεως:–
Βουλὴ ἀγαθῶν σύμβουλος:– Ἄνευ βουλῆς μηδὲν
ποιήσῃς· καὶ ἐν τῷ ποιῆσαί σε μὴ μετα
μελοῦ:– Βουλεύου πολλὰ πρὸ τοῦ μέλλειν
τὶ ἢ ποιεῖν· οὐ γὰρ ἕξεις ἄδειαν ἀναλαβέ
σθαι τὰ λαληθέντα καὶ πραχθέντα:–

Σιράχ Μετὰ σοφῶν συμβουλεύου· βουλὴ γὰρ σοφοῦ πη
γὴ ζωῆς:– Χρυσίον καὶ ἀργύριον ἐπιστή
σουσι πόδας· καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐ
δοκιμεῖται:–

Θεο Πάσης πράξεως βουλὴ
ἀσφαλὴς ἐγχειρεῖσθαι:– Μάχης ὅσου παν
τὸς ἐγχειρεῖσθαι βουλή:– Κρεῖσσον βεβουλευμέ
νη βραδυτής, τάχους ἀπερισκέπτου:–

☧ Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα καὶ
τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ' αὐτό:–

Ἰσοκράτους Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων, οὐ
δέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων:–

Δημώνακτ(ος) Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σαυτόν,
καὶ ἀπαθὴς τῶν κακῶν ἔσῃ:–

## Περὶ τῶν ταχέως μεταβαλλομένων:—

ἀπο ιζ Κρεῖσσον ἐστὶ μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας· ἢ ἐπιγνόντας, ὑποστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς:—

ἰεζεκιὴλ Ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιῆσαι ἀδικίαν. πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ οὐ μὴ μνησθῶσιν· ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. εἰ τὸ δίκαιον κατὰ τὴν ὁδὸν αὐτοῦ ἐν ὑστέρῳ αὐτόν. κρινῶ αὐτὸν μάλα κς. καὶ ἐν ᾗ ἂν ἡμέρᾳ ἐπιστρέψῃ ὁ ἄνομος ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ καὶ ποιήσῃ δικαιοσύνην. οὐ μὴ μνησθῶσιν ἅπαντα τὰ παραπτώματα αὐτοῦ:—

βασι Ὁ ἐν προκοπῇ γενόμενος ἀγαθῶν ἔργων· εἶτα παλινδρομήσας πρὸς τὴν ἀρχαίαν συνήθειαν. οὐ μόνον τὸν ἐπὶ τοῖς πεπονημένοις μισθὸν ἐζημιώθη. ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦται τῆς κατακρίσεως:— Ὁ ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι παιδευθεὶς καὶ τῆς ἀφέσεως ἀξιωθεὶς ἐὰν πάλιν ἁμάρτῃ. χεῖρον τοῦ προτέρου κατασκευάζει ἑαυτῷ τὸ κρίμα τῆς ὀργῆς:—

ιη

## Π(ερὶ) τῶν εἰς μετάνοιαν μὴ ἐπιστρεφόντ(ων):—

Δαδ ς Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτ(οῦ):—

Σολο Ὅταν ἔλθῃ ὁ ἀσεβὴς εἰς πλῆθος κακῶν καταφρονεῖ· ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος:—

Ἱερε Τάδε λέγει κ(ύριο)ς· μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν. καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι:—

Ἡσαΐου Ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σέ, ἐν τῷ λέγειν σε οὐχ ἥμαρτον. ὅτι καταφρόνησας σφόδρα, τοῦ δευτερῶσαι τὰς ὁδούς σου:—

Βασι Τὸ κρύπτειν ἁμαρτήματα. συγκατασκευάζει τῷ νοσοῦντι τὸν θάνατον:— Εἰ μὲν καλὸν ἡ ἁμαρτία. φύλασσε ταύτην εἰς τέλος· εἰ δὲ βλαβερὰ τῷ ποιοῦντι. τί ἐπιμένεις:—

Ὅρα ἄνθρωπε μὴ ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως πλῆθος κακῶν ἑαυτῷ σωρεύσῃς ἀμελῶν· τὴν μὲν ἁμαρτίαν ἀθροίζεις, τῆς δὲ συγχωρήσεως ἄδηλος τύχης:— Ὅρα ἄνθρωπε μή ποτέ σοι μεταμέλεια γένηται τῶν κακῶν βουλευμάτων. ὅτε ὄφελος τῆς μεταμελείας οὐδέν:—

Οὐ δεινὸν τὸ πολεμούμενον τρωθῆναι· ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι. καὶ ἀμελῆσαι τοῦ τραύματος :- ὀυ τὸ πεσεῖν χαλεπόν· ἀλλὰ τὸ πεσόντα. κεῖσθαι καὶ μὴ ἀνίστασθαι :-

Διονυσίου Συγγνωσθῆναι οὐ μετανοοῦντας ἐφ' οἷς ἥμαρτον. ἀδύνατον :-

— ··· — ··· — ··· — ··· — ··· — ··· —*

ἀπο ιθ

## περὶ ἀληθείας :-

ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ :-

Χρυ ἀλήθειά ἐστιν. ἡ τοῦ ὄντος ἀσφαλὴς κατανόησις :-

Φίλωνος ἀλήθειά ἐστιν, ἡ τῶν συνεσκιασμένων πραγμάτων ἀνακαλυπτήρια ἄριστα δύναμις :-

— ··· — ··· — ··· — ··· — ··· — ··· —*

κ

## περὶ ψεύδους :-

Ἱερεμ ἀλήθειαν οὐ μὴ λαλήσωσιν· μεμάθηκε γὰρ ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ :-

Βασι Ἔσχατος ὅρος τῆς πονηρίας ἐστὶ τὸ ψεῦδος :-

Θεοφίλω τὸ μὲν ἀληθὲς ἕν· τὸ δὲ ψεῦδος. πολυσχιδές :- ψεῦδός ἐστι φαντασία τις περὶ τὸ μὴ ὄν, ἀγομένη τῇ διανοίᾳ· ὡς ὑφεστῶτος τοῦ μὴ ὑπάρχοντος :-

Χαρικλείας Καλὸν γάρ ποτε καὶ τὸ ψεῦδος· ὅταν ὠφελοῦν τοὺς λέγοντας. μηδὲν καταβλάπτῃ τοὺς ἀκούοντας :-

— ... — ... — ... — ... — ... — ... ×

## κα΄ Περὶ φίλων:—

Βασι Οὐδεὶς πονηρῶν καὶ ἀμαθῶν φίλος. οὐδὲ γὰρ ποιεῖται τὸ τῆς φιλίας καλόν. εἰς μοχθηρὰν διάθεσιν:—

θεο Κρεῖσσον ἐμπαθοῦς ὁμονοίας, ἡ ὑπὲρ εὐσεβείας διάστασις:—

Χρ Ὁ γὰρ τοῖς ἐχθροῖς τοῦ καίσαρος συμφιλιάζων, οὐ δύναται φίλος εἶναι τοῦ καίσαρος:—

Οἱ μεγάλοι κίνδυνοι, καὶ τοὺς τῆς φιλίας μυοῦσι μόνους:— Τῶν ἐχόντων, πάντες ἄνθρωποι φίλοι:— Φίλον ἄδηλον, αἱ συμφοραὶ διακρίνουσιν:—

Ἐπικτήτου Ἡ τῶν περιστάσεων ἀνάγκη· τοὺς μὲν φίλους δοκιμάζει. τοὺς δὲ ἐχθροὺς ἐλέγχει:— Φεύγειν δεῖ κακῶν φιλίας. καὶ ἀγαθῶν ἔχθρας:—

Μενάνδρου Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ. καὶ οὐ φοβηθήσῃ αὐτὸν ἐχθρὸν γενόμενον:—

Σέξτου Μὴ κτήσῃ φίλον. ᾧ μὴ πάντα πιστεύεις:—

— ... — ... — ... — ... — ... — ... ×

## κβ΄ Περὶ ἀγάπης:—

ἀπο Πᾶς ὁ νόμος. ἐν ἑνὶ μόνῳ πεπλήρωται· ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν:—

Ὁ θεὸς ἀγάπη ἐστίν· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ. ἐν τῷ θεῷ μένει· καὶ ὁ θεὸς ἐν αὐτῷ μένει:—

θεο Ἀγάπη ἐστί, σύνδεσμος τελειότητος:—

δημιουργὸς ἀρετῆς ἁπάσης ἡ ἀγάπη:—
φώτ πα τὸ μὲν ἀγαπᾶν τοὺς μισοῦντας, ἀρετῆς
καὶ θεῖον· τὸ δὲ τοὺς ἀγαπῶντας, ἀν-
θρώπινον καὶ κοινόν· τὸ δὲ μισεῖν καὶ τοὺς
ἀγαπῶντας, οὐδὲ θηρίων οἶμαι:—
φιρμον ἐν μὲν τοῖς ἄλλοις, τὸ μέτρον ἄριστον· ἐν
δὲ τῇ ἀγάπῃ, ὁ τὸ πλεῖον ἔχων θεοφιλέστερος:—

—— ··· —— ··· —— ··· —— ··· —— ··· —— ··· —— *

## κγ΄ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ:—

ἀποε μακάριόν ἐστι. διδόναι μᾶλλον ἢ λαμβάνειν:—
σολο δόμα ἀνθρώπου. ἐμπλατύνει αὐτόν. καὶ παρὰ
δυνάσταις καθιζάνει αὐτόν:—
λύτρον ἀνδρὸς, ὁ ἴδιος πλοῦτος:— ἄν-
δρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ θεός:—
Βασι σκορπιζόμενος ὁ πλοῦτος καθ᾽ ὃν ὁ κύριος
ὑποτίθεται τρόπον. πέφυκε παραμένειν.
συνεχόμενος δὲ, ἀλλοτριοῦσθαι· ἐὰν φυ-
λάττῃς, οὐκ ἕξεις· ἐὰν δὲ σκορπίσῃς, οὐκ ἀ-
πολέσεις· ἐσκόρπισεν ἔδωκε τοῖς πέ-
νησιν. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα:—
οὐκ ἔστι κόσμημα πρὸς ἐλεημοσύνην τιμί-
α. καὶ μάρτυς ἡ χήρα ἡ τὰ δύο λεπτὰ
βαλοῦσα. καὶ τοὺς τὰ πολλὰ καταθέντας
ὑπερακοντίσασα:— οὐδὲν οὕτως
ὁμοιοῖ τῷ θεῷ, ὡς τὸ τοῖς πονηροῖς καὶ

τοῖς ἀδικοῦσιν εἶναι συγγνωμονικόν:—
Πιττακοῦ Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων
ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν εἰπών·
συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν
γὰρ ἡμέρου φύσεώς ἐστι· τὸ δὲ θηριώδους:—

* * *

### κα' περὶ φειδωλῶν καὶ ἀμεταδότων. καὶ ἐλεημοσύνην μὴ ποιούντων:—

ἀπο Εἰδότι καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁ-
μαρτία αὐτῷ ἐστιν:— ἡ κρίσις ἀνέ-
λεος τῷ μὴ ποιήσαντι ἔλεος:—
Σολομ τὰ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμο-
Σιραχ να:— ἔστι πλουτῶν, ἀπὸ προσοχῆς
καὶ σφιγγίας αὐτοῦ· καὶ καταλείψει αὐτὰ ἑτέ-
ροις καὶ ἀποθανεῖται:— Ὁ πονηρὸς
Βασιλ ἑαυτῷ, τίνι ἀγαθὸς ἔσται:— ἄκουε
ἀνελεῆμον τις· μὴ εἴπῃς ἐπανελθὼν
ἐπάνηκε καὶ αὔριον δώσω· δυνατοῦ σου
ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας τί τέξε-
ται ἡ ἐπιοῦσα:— Οὐκ ἠλέησας, οὐκ ἐ-
λεηθήσῃ· οὐκ ἤνοιξας τὴν οἰκίαν, ἀ-
ποκλεισθήσῃ τῆς βασιλείας· οὐκ ἔδωκας
ἄρτον τῷ πεινῶντι, οὐ λήψῃ τὴν αἰώ-
νιον ζωήν:— δεῖξον ἄνθρωπε τὰ ἔργα,
καὶ ἀπαίτει τοὺς μισθούς· οὐδεὶς μετὰ τὸ

μαθήματα τὴν πανήγυριν πραγματεύεται. οὐδὲ μετὰ τοὺς ἀγῶνας ἐπαμειβόμενοι στεφανοῦνται· οὕτω καὶ μετὰ τὴν ἀρετὴν ἐπαινεῖ:—

νύσσης· Ἄξιόν σοι τῆς σπορᾶς τὸ θέρος· πικρίαν ἔσπειρας, δρέπου τὰ δράγματα· τὸ ἀνήμερον ἐπενόησας. ἔχε ὃ περιηγάπησας. ἔφυγες τὸν ἔλεον. φεύξεταί σε τὸ ἔλεος· ἐβδελύξω τὸν πτωχόν. ἐκβδελύξεταί σε ὁ δι' ἡμᾶς πτωχεύσας:—

φίλω Τὸ φιλότιμον. ἐκκριθέν· ϗ τὸ μὴ τοιοῦτον. κατεσκωμμένων:—

* * *

## κε. Περὶ εὐεργεσίας καὶ χάριτος:—

εὐαγ Εἶπεν ὁ κύριος· ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον. μὴ φώνει τοὺς φίλους σου μηδὲ γείτονας πλουσίους· μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι. καὶ γένηταί σοι ἀνταπόδομα:—

Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι. ϗ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως:—

ἀπο Ὁ ἀγαθοποιῶν, ἐκ τοῦ θεοῦ ἐστιν· ὁ δὲ κακοποιῶν, οὐχ ἑώρακε τὸν θεόν:— Πάντα τοῖς προαιρουμένοις τὸ ἀγαθόν, συνεργεῖ ὁ θεὸς εἰς ἀγαθόν:—

σο Κρεῖσσον μόγος ἀγαθός, ἡδονῆς:—

βασι Χρὴ μὴ ἀνδρῶν δικαίων. ἐπίστανται χάριτας:— Τῶν ἀγαθῶν ἔργων αἱ χάριτες, ἐπὶ τοὺς διδόντ

ἕως ἂν παρέφωσιν :— ἕως πλεῖστ' ἔχουσι-
θεο ας. τοῖς μαινομένοις ἡδὺς χάρις· ἕως δὲ
κτᾶσ' ἐς πλουτεῖς. τοῖς κακοπαθοῦντι
ὡς ὠφελήσων :— εὐεργετῶν. νόμιζε μι-
μεῖσθαι θεόν :— εὐεργετοῦμεν, τοὺς μὲν
δὲ αἰσθανομένους ὅτι εὐεργετοῦνται·
γνῶ μὴ ἂν ἰδόντες ἡμῖν τὸν ἔπαινον.
ἢ ὅτι δή ποτε. ἐπιστρέφουσιν ἡμῖν τὸν μι-
σθόν· ὅταν γὰρ μηδὲν παρὰ αὐτῶν λά-
βωμεν. τότε μείζονα παρὰ θεοῦ ληψόμεθα :—
ἀρκεῖ πολλαχοῦ προαίρεσις. μόνη ποι-
ΝΥCΗC ῆσαι ἀγαθόν :— ὁ θελήσας τὸ ἀγα-
θὸν μόνον· καὶ μηδεὶς δὲ πρὸς τὸ καλὸν
τῶ μὴ δύνασθαι. καὶ τοῦ δεῖν ἐλαττοῦνται
τῇ τῆς τύχης ἀσθενείᾳ. τοῦ διὰ τῶν
ἔργων τὴν γνώμην δείξαντος :—
ΝΕΙ τὸν εὐεργετοῦντά σε εἰς τύχην, ὅσ' ὑ-
πὲρ ἐνθυμηθῇ μάλιστα τίμα :—
πλου ἀχάριστον εὐεργετεῖν· ἐν νεκρὸν μυρίζειν.
τάρχ ἐπίσης κεῖται :— μισῶ δωρεάν,
ἥτις ἀναγκάζει ἀνθυπηρετεῖν :—
δημοσθ δημοσθένης ἐρωτηθεὶς τί ἄνθρωπος ἔχει ὅμοιον
θεῷ, ἔφη· τὸ εὐεργετεῖν καὶ ἀληθεύειν :—
Δημο ὅτινι τὴν χάριν καταθῇς, θᾶττον τὴν
κρίτου. χάριν δίδου· ἢν γὰρ βραδύνῃς, ματαίαν ἔσται τὴν μάχ :—

δυνάμενος χαρίζεσθαι. μὴ βράδυνε. ἀλ
λὰ δίδου· ἐπιστάμενος μὴ εἶναι τὰ πρά
γματα μόνιμα:— Ὁ πλουσίοις χορη
γῶν, οὐδὲν διαφέρει τοῦ εἰς θάλασσαν
ὕδωρ ἐκχέοντος:— Οὐδὲν ἐν τοῖς
ἀνοις τάχιον γηράσκει, ὡς χάρις:—
Κάτωνος — ἡ χάρις πρὸς ἀγνώμονας, οὐδέποτε
θνήσκει:— μὴ ὀνειδίσῃς τοῖς
Cέξ του — φίλοις σου χάριτας· ἔσῃ γὰρ ὡς οὐ δε
Δημοc — δωκώς:— μὴ αἴτει μεγάλα ἵνα
μὴ δυοῖν θάτερον· ἢ τυγχάνων λυπήσῃς,
Κρά τητος — ἢ μὴ τυγχάνων λυπῆι:— Οὐ παρὰ
πάντων τὰ διδόμενα δέχεσθαι χρή·
οὐ γὰρ θέμις τὴν ἀρετὴν ὑπὸ κακίας
Ἰσοκράτους· — τρέφεσθαι:— Τοὺς ἀγαθοὺς εὖ ποίει·
καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ
Θεσπιδου. — χάρις ὀφειλομένη:— Ἀδαπάνη
τος ἐστὶ τῆς εὐποιΐας ὁ πλοῦτος· ἐν τῷ
διδόναι γὰρ λαμβάνεται. καὶ ἐν τῷ σκορ
πίζειν συνάγεται:— Λαβών τι πα
ρά τινος, εὐθὺς ἀπόδος· ἵνα πάλιν λάβῃς:—
Χρήματα πορίζειν μὲν, οὐκ ἀχρεῖον· ἐξ ἀ
δικίας δὲ, πάντως κάκιον:— Ὕμνος
τοῖς θεοῖς· ἔπαινος δὲ, τοῖς ἀνοις παρ [illegible]:—
Εὔνοια καὶ χάρις. πειθόντων ἐπαινουμένων:—

κϛ

## περὶ ἀκτημοσύνης καὶ ὀλιγοδείας :—

ματθ Εἰπὼν ὁ κ(ύριο)ς· μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε· μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· ζητεῖτε δὲ τὴν βασιλείαν τοῦ θ(εο)ῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ. καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν :—

ἀπο ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· οὐ μή σε ἀνῶ· οὐδ' οὐ μή σε ἐγκαταλίπω :— δαδ Κρεῖσσον ὀλίγον τῷ δικαίῳ. ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολλῶν :— σολομ πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν :— ἀνὴρ ἐνδεὴς, ἀγαπᾷ εὐφροσύνην· φιλῶν οἶνον καὶ ἔλαιον οὐ πλουτήσει :— Κρεῖσσον ὀλίγη λῆψις μετὰ δικαιοσύνης. ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας :—

Κρεῖσσον ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν. ἢ παράθεσις μόσχων μετὰ ἔχθρας :— Κρεῖσσον ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ. ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης :—

πλοῦτον καὶ πενίαν. μή μοι δῷς κ(ύρι)ε· σύνταξον δέ μοι. τὰ δέοντα καὶ τὰ αὐτάρκη :— μέλι εὑρὼν. φάγε τὸ ἱκανόν· μή ποτε πλησθεὶς·

ἐξεμάθης:— Κρεῖσσον πλήρωμα δρακὸς ἀναπαύσεως. ὑπὲρ πλήρωμα δύο δρακῶν ἐν μόχθοις:—

χ

Σιρά· Ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον:— Ὕπνος ὑγιείας, ἐπὶ ἐντέρῳ μετρίῳ:—

Νύσς Ὁ ὅρος ἐγκρατείας ἐσθίειν δεῖ· καὶ τὸ μὴ ἐπιλαμβάνειν κόρον τῷ κόρῳ. μηδὲ ἀναμένειν τῇ κραιπάλῃ τὴν ὄρεξιν:—

Ὁ τὴν ἡμέραν διδούς, καὶ τὰ εἰς τὴν ἡμέραν ἐπιδώσει:—

Κλήμεντ(ος) Ἡ τῶν ἀναγκαίων κτήσεως καὶ χρήσεως· οὐ τὴν ποιότητα τὴν μακρὰν ἔχει. ἀλλὰ τὴν παρὰ τὸ μέτρον ποσότητα:—

Φίλω(νος) Ὁ σπουδαῖος ὁ μεγαλοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος· τὸ μὲν ἐνδεὲς ἔχων. διὰ σῶμα θνητόν· τὸ δὲ μὴ πενόμενος· διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας:—

Ἀσκητέον ὀλίγων δεῖσθαι· τοῦτο γὰρ ἐγγυτάτω θεοῦ· τὸ δ' ἐναντίον, μακροτάτω:— sss — sss — sss — sss —

## κζ̃ Περὶ πλούτου καὶ πλουσίων:—

Σολ(ομῶντος) Πλοῦτος, προστίθησι φίλους πολλούς:—

Σιρά Πλούσιος σαλευόμενος, στηρίζεται ὑπὸ φίλ(ων):— Πλουσίου σφαλέντος, πολλοὶ ἀντιλήπτορες· ἐλάλησεν ἀπόρρητα. καὶ ἐδικαίωσαν αὐτόν:— Ἀγρυπνία πλούτου. ἐκτήκει σάρκας

κας· καὶ ἡ μέριμνα αὐτοῦ, ἀφιστᾷ ὕπνον:—

Νύσσης Οὐδείς ποτε τοῦ κερδαίνειν γίνεται κόρος· ἀλλὰ τὸ ἀεὶ λαμβανόμενον, ὕλη καὶ ὑπέκκαυμα τῆς τοῦ πλείονος ἐπιθυμίας καθίσταται:—

Φίλω Πλούτου κάλλος, οὐκ ἐν βαλαντίοις· ἀλλ' ἐν τῇ τῶν χρῃζόντων ἐπικουρίᾳ:—

Δημώνακτ(ος) Διηνεκὴς ἐπὶ πᾶσιν ἄλλοις, ἡ τοῦ πλούτου ἐπιθυμία. μὴ κτηθεῖσα μὲν γάρ, τρύχει· κτηθεῖσα δέ, βασανίζει ταῖς φροντίσιν· ἀποκτηθεῖσα δέ, ταῖς λύπαις:—

Προῖξ πολλή, τὴν γυναῖκα βελτίονα οὐ ποιεῖ:—

Φιλιστίωνος. Κἂν μυρίων πηχῶν γῆς κύριος ὑπάρχῃς, θανὼν γοῦν ἕξεις τριῶν ἢ τεσσάρων:—

Ἀνδρὶ μικρολόγῳ, οὐ καλὸν ὁ πλοῦτος:—

* * *

## κη' Περὶ πτωχῶν καὶ πενήτων:—

Ἰὼβ Κραυγῆς πένητος καὶ κραυγῆς πτωχοῦ εἰσακούσεται Κ(ύριο)ς:—

Σολ(ομῶντος) Ὃς ἀποφράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θ(εό)ς:— Καρδίαν ἐπιδεομένου μὴ προσα[illegible]μώσῃς:— Ἐμίσησεν ἡ ψυχή μου, πτωχὸν ὑπερήφανον:—

Διαδ(όχου) μείζονα καὶ σπουδαιοτέραν τὴν ἐπιμέλειαν ποιοῦ εἰς τοὺς δι' ἀρετὴν καὶ θεοσέβειαν πτω

χάσαντας. ἢ πενομένοις. ὁμοίως δ' εἰς
τοὺς ἐκ νόσων ἢ συμπτωμάτων ἀποροῦν-
τας. παρὰ τοὺς ἐκ κακοπραγμονίας ἢ ἀ-
σωτίας ταῦτα χάσαντας :—

Λουκιανόν Γῆς ἐπέβην γυμνός, γυμνὸς δ' ὑπὸ γαῖαν
ἄπειμι. Καὶ τί μάτην μοχθῶ, γυμνὸν
ὁρῶν τὸ τέλος :— Ἐμοὶ μὲν ἡ πενία
οὐδὲν ἰατρικὸς κακόν. σοὶ δὲ ὁ πλοῦτος
ταραχὰς οὐκ ὀλίγας :—

— ... — ... — ... — ... — ... — .. ×

## κθ Περὶ φιλαργυρίας :—

ἀπο Ῥίζα πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαρ :—
Βασι Χρυσός, τῶν μὲν τυχῶν ἡ ἀρχή. τὸ τοῦ θα-
νάτου ἄγκιστρον. τὸ τῆς ἁμαρ δέλεαρ :—
Χρ Μὴ γίνου φιλάργυρος. ἵνα μὴ ἐν τῇ θῦ δου-
λάσῃς τῷ μαμωνᾷ :— Ὁ τῶν φιλαρ-
Σωκρα γύρων πλοῦτος. ὥσπερ ὁ ἥλιος κατα-
δὺς εἰς τὴν γῆν. οὐδένα τῶν ζώντων
Διοδώρον εὐφραίνει :— Τὰ τοῖς πλουσίοις ἀδικήμα-
τα χρωθῆναι. τῷ χρυσῷ ῥᾳδίως ἐ-
αι καταπολεμεῖσαι :— Τῷ ἀργυρίῳ
ὑποτάσσεται τὰ σύμπαντα :— Τὰ
πονηρὰ κέρδη. τὰς μὲν ἡδονὰς ἔχει μι-
κράς, τὰς δὲ λύπας μακράς :—

λζ

## Περὶ πλεονεκτούντων καὶ ἀδικούντων:—

Σολομῶντ. Ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας, ἐλάσσων γίνεται:—

Ἄδικοι ἀπολοῦνται συντόμως:—

Ἀμβακούμ. Οὐαὶ οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χερσὶν αὐτῶν:—

Ἀμώς. Οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν:—

Σοφίας. Δέησιν ἀδικουμένου εἰσακούσεται:—

Σολο. Σιρά. Μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν, καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη:—

Πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται ἐν μερίδι:—

Βασι. Ὁ τὰ ἑτέρων λαμβάνων καὶ ἑτέροις διδοὺς, οὐκ ἐλεήμων· ἀλλὰ καὶ καινὴν ἀδικίαν τὴν ἐσχάτην· εἰ μὲν γὰρ ἐλεεῖς ἐξ ὧν ἀδικεῖς, ἐλέησον οὓς ἀδικεῖς· ἐλεήμων γὰρ ἕκαστος οὐχ ὁ πολλοὺς ἐλεῶν, ἀλλ᾽ ὁ μηδένα ἀδικῶν:—

Θεο. Χρυσοῦ δ᾽ ἀντέρα πάντων ἄδικος:—

Ἄρκοι καὶ λύκοι ἐπειδὰν λάβωσι κόρον, τῆς ἁρπαγῆς ἀφίστανται· οἱ δὲ πλεονέκται, κόρον οὐκ ἔχουσιν:— Πλεονεξία ἐστὶ τὸ πλέον ἔχειν τοῦ ὡρισμένου:—

Πλούτ. Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς ταῦτα καὶ λαμπρῶς ἀναλίσκοντες τὰς λειτουργίας, ὅμοιοι

τι ποιοῦσι. τοῖς ἀπὸ ἱεροσυλίας θεοὺς
τιμῶσιν :- Κύκνων μελῳδῆσαι σαρ-
κῶν ἀπογάλεσθαι. φυλάττειν ὁ οὐκ ἐνδύ-
ναται τὴν ἐσθῆτα :- Οἱ μὲν γὰρ
τὰ μεγάλα ἁρπάζοντες. ἄδηλον εἰ
καὶ τὰ μικρὰ ἁρπάζουσιν. οἱ δὲ τῶν
μικρῶν μὴ ἀπεχόμενοι. δῆλον ὅτι οὐ-
δὲ τῶν μεγάλων ἀφέξονται :-

ἀντι-
φάνους
λυσί-
ον

---

λδ'

## Περὶ αὐταρκείας :-

Σο

Ἀρχὴ ζωῆς ἀνου. ἄρτος καὶ ὕδωρ. καὶ ἱ-
μάτιον καλύπτον ἀσχημοσύνην αὐτοῦ :-

Βασι

Ἡ οἰκονομοῦσα τὸ ζῶον δύναμις. αὐ-
τάρκειαν μὲν καὶ μετριότητα. ῥᾳδίως
κατειργάσατο καὶ ἀκόπως τοῖς τρε-
φομένοις. πολυτέλειαν δὲ καὶ ποικι-
λίαν βρωμάτων παραλαμβάνουσα. εἶτα
ἀντέχειν πρὸς τὸ βάρος οὐκ ἐξαρκέ-
σασα. τὰ ποικίλα γένη τῶν νοσημά-
των ἐποίησεν :- Ἡ αὐτάρκεια.
καὶ τροφή ἐστιν καὶ ἡδονὴ καὶ ὑγεία. τὸ
δὲ πλέον. μέθη καὶ ἀηδία ϗ νόσος :-

Φησὶν ὁ χ̅ς̅. ζητεῖτε τὴν βασιλείαν τοῦ
θ̅υ̅ καὶ τὴν δικαιοσύνην αὐτοῦ. ϗ ταῦτα
πάντα προστεθήσεται ὑμῖν. ἡμέρας δὲ τὴν

τάξιν ἀντεστραμμένην· καὶ ζητοῦμεν τὴν
γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθά· καὶ διὰ τοῦ
τοῦτο πάντα. οὐ γὰρ ἐκεῖ ναιζόμεν:—

Δημοκρίτου αὐταρκείῃ τροφῇ, σμικρὰ μὲν ζῆν οὐδέ
ποτε γίνεται:— ὁ φειδόμενος ἑαυτοὺς
ἐσθίειν ἀπὸ τῶν ὀλίγων ζῆν· ἵνα μὴ

Κλειτάρχου δέῃ αἰσχρὸν ἕνεκεν χρημάτων μανθάνειν:—

Πλουτάρχου μὴ τὸ μὲν πολυτελέως. μὴ τὸ δὲ ἀνελευθέρως
παρορᾶται περὶ τὴν ἐσθῆτα καὶ δίαιταν
καὶ τὴν ἑτέραν διαγωγὴν τὸ σῶμα διοι
κεῖν· τὸ μὲν γὰρ φθονεῖσθαι ἢ γελᾶσθαι·
τὸ δὲ μισεῖσθαι ἢ ἐλεεῖσθαι ποιεῖ:—

Ἐθίζε σεαυτὸν τὴν μὲν τῇ διαίτῃ εἶναι τῆς
πολυτελείας μηδέποτε προσεθισθῆς:—

~ sss ~ sss ~ sss ~ sss ~ sss ~

λβ´ Περὶ τοῦ ὅτι οὐκ ἀεὶ τὸ πλεῖστον
ἄριστον:—

~ sss ~ sss ~ sss ~ sss ~ sss ~ ss ~

ἀπο(στόλου) Ἐν ἐκκλησίαι θέλω πέντε λόγους διὰ
τοῦ νοός μου λαλῆσαι. ἢ μυρίους λόγους
ἐν γλώσσῃ:— Εἰ γὰρ ἄρτος καρδίαν

Βασι(λείου) ἀνθρώπου στηρίζει, οὐδὲ πλέον τοῦ ἀναγκαί
ου τῆς τροφῆς. τὸ προσόθημα ἀλόγως
προσφέρεσθαι:—

Ἰσοκρά(τους) Προαιρετέον μετρί
[illegible] μετὰ δικαιοσύνης μᾶλλον. ἢ

μέγαν πλοῦτον μετὰ ἀδικίας :— τῶν
ἡδέων τὰ ταμιεῖα ταῦτα γινόμενα.
μάταια τέρπει :— :— :— :— :— ※

λγ̃

## περὶ ΝΗϹΤΕΙΑϹ :—

ἀπ(οστόλου) πᾶς ὁ ἀγωνιζόμενος. πάντα ἐγκρατεύεται :—
Βασι(λείου) ὑποπίαζέ σου τὸ σῶμα καὶ δουλαγώγει.
μή πως ἐκ τοῦ οὕτως ὑπερζέοντός
σου τοῦ αἵματος. ἀφορμὴ πρὸς ἁμαρ-
τίαν ἡ πολυσαρκία γένηται :—
μὴ κολάκευε σου τὴν σάρκα, ὕπνοις καὶ
λουτροῖς καὶ μαλακοῖς στρώμασιν. ἀλλ'
ἐπιλέγων τὸ ῥῆμα τοῦτο, τίς ὠφέλεια ἐν
τῷ αἵματί μου. ἐν τῷ καταβαίνειν με
εἰς διαφθοράν :— νηστεία ἀληθής.
ἡ τῶν κακῶν ἀλλοτρίωσις :— φυλάσ-
σεται οὗτος ὁ τῆς ἐγκρατείας σκοπός.
τοῖς μὲν ἀπαραιτήτοις καὶ ἀναγκαίοις πρὸς
τὸ ζῆν. μέχρι τῆς χρείας προσδια-
τρίβειν. τῶν δὲ πρὸς ἡδονὴν ὄντων. καθόλου
ἀπέχεσθαι :— τράπεζα μονοειδὴς μὲν
οὖσα. κόρον ἐντίθησιν. αἱ δὲ ποικίλαι.
ἄλ τὴν ὄρεξιν διεγείρουσιν :— Καλὴ ἐγκρά-
τειά ἐστι. τὸ παρὰ μικρὸν τῆς χρείας
μεταλαμβάνειν ἐν τῷ καιρῷ τῆς διαίτης.
καὶ τὴν καρδίαν τηρεῖν καὶ πρὸς τὰ κρυφία

Θεοδωρίτου
πάθη. κρυπτῶς πολεμεῖν:— ἀλλὰ
δικῶς μὴ ἀτάκτω. ἡ ἀληθὴς ἐγκράτεια ἐν δήλῳ:—

Εὐαγρίου
μὴ εἴπῃς σήμερον οὐ βρώσομαι· καὶ αὔριον
βρώσομαι· ὅτι οὐκ ἐμφρόνως ποιεῖς τοῦ
το· ἔσται γὰρ βλάβη τῷ σώματί σου καὶ
ὀδύνη τῷ στομάχῳ σου:—

— ∴ — ∴ — ∴ — ∴ — ∴ —

λᾱ

## Περὶ ἀκρασίας καὶ γαστριμαργίας:—

Ἰὼβ
ἡ δύναμις τοῦ σατανᾶ, ἐπ' ὀμφαλοῦ γα
στρός:—

Σολ
μὴ ἀπληστεύου ἐπὶ τραπέ
ζης. μή ποτε προσκόψῃς:—
ψυχὴ ἐν πλησμονῇ μὲν οὖσα. κηρίοις ἐμπαί
ζει· ψυχῇ δὲ ἐνδεεῖ, καὶ τὰ πικρὰ γλυ
κέα φαίνεται:—

Σιράχ
μὴ ἀπληστεύου
ἐν πάσῃ τρυφῇ· ἐν πολλοῖς γὰρ βρώ
μασιν. ἔσται νόσος:— ἀνὴρ βλέ
πων εἰς ἀλλοτρίαν τράπεζαν. οὐκ ἔστιν
ὁ βίος αὐτοῦ ἐν λογισμῷ ζωῆς:—
ἄϋπνός ἐστι καὶ ἀκοίμητος πρὸς τὴν
τοῦ πλείονος ἐπιθυμίαν. ἡ ἄπληστος φύσις:—

Βασι
ἡ ἰσχὺς τοῦ σατανᾶ φησιν, ἐπ' ὀσφύϊ· ἡ δὲ
δύναμις αὐτοῦ, ἐπ' ὀμφαλοῦ γαστρός·
πιαινομένης γὰρ ταύτης ὑπὸ τῶν ζωμῶν,
ἀνάγκη τὰ ὑπ' αὐτὴν μόρια. ὑπὸ τοῦ πλημ
μυροῦντος ὑγροῦ βρασσομένου ἐν κοιλίᾳ.

πρὸς τὰς φυσικὰς ἐνεργείας κινεῖσθαι:—
Κόρος ὕβρεως ἀρχή· αὐτὸς γὰρ συνεισ-
πίπτει τῇ τρυφῇ καὶ τῇ μέθῃ· καὶ ταῖς
παντοδαπαῖς καρυκείαις. πᾶν εἶ-
δος ἀκολασίας ὡς κημάτοδοις· ἐν-
θεν ἵπποι θηλυμανεῖς οἱ ἄνοι. διὰ τὸν
ἐκ τῆς τρυφῆς αἰ ἀρμ ἀλλόμενον τῇ
ψυχῇ:— Ἀκρασία ἐστίν, ἡ μὴ ἔχου-
σα κράτος κατὰ τῶν ἐνοχλούντων
Θεο ἡδονῶν:— Θαυμαστὸν ἡ ἀκράτεια καὶ
ὁ μὴ γαρκεῖα· καὶ τὸ μὴ κρατεῖσθαι ὑπὸ
τῶν ἡδονῶν. μὴ δὲ ὡς ὑπὸ πικρᾶς καὶ
ἀνελευθέρου δεσποίνης, τῆς γαστρὸς
ἄγεσθαι:— Φαγὼν καὶ ἐμπλησθείς,
πρόσεχε σεαυτόν· ἀπόκρημνος γάρ ἐστιν
ὁ τόπος τῆς τρυφῆς:— Παχεῖα γα-
στήρ, λεπτὸν οὐ τίκτει νόον:— Τὸ
πολλὰ σιτεῖσθαι. παρ δάλεως ἐλθόν-
τος καὶ ἀρκοῦ ἐστιν:— Τοῦ κατὰ
φύσιν θερμοῦ οὐκ ἀρκοῦντος τὰ πολλὰ
κατεργάσασθαι βρώματα, ἀλλὰ κατα-
χωννυμένου, ἐπίκειται ἀπωθούμενα καὶ
πιεζόμενα καὶ πολλὴν ποιοῦντα
Κλίμακος τὴν ἀηδίαν:— Θμιομένης κοι-
λίας, τέρπεται καρδία· θεραπευομέ-

μίνος δὲ αὐτῆς, γαστριμαργισμός:—
μάρκου Καρδίας ἐκδυσπαθούσης, λογισμοὶ φοιμοὶ
ἀναφύονται:— αὖμος μὲν ἐστρέφ
δέεται νάος· πορνείας δὲ πάθος, ἐσσώμα
πάνται κόρφοι:— ὑγείαν εὐχῇ παρὰ
Δημοκρίτου θεῶν αἰτοῦνται οἱ ἄνοι· τὴν δὲ ταύτης
δύναμιν παρ᾽ ἑαυτοῖς ἔχοντες, οὐκ ἴσα
σιν· ἀκρασίαι γὰρ τὰ ἐναντία πράσ
σοντες, αὐτοὶ προδόται τῆς ὑγείας γίνονται:—
Βότρυας τρεῖς ἡ ἄμπελος φέρει· τὸν μὲν
πρῶτον ἡδονῆς· τὸν δεύτερον μέθης· τὸν
δὲ τρίτον, ὕβρεως:—

## λε Περὶ ἀσωτίας:—

ἀπο Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστὶν ἀσωτία:—
σο Ὃς κατασπαταλᾷ ἐκ παιδὸς, οἰκέτης
θεο ἔσται:— Τῆς αὐτῆς ἐστὶ μοχθηρίας:—
μενάνδρου Τοὺς τὸν ἴδιον δαπανῶντας ἀφειδῶς
βίον. τὸ καλῶς ἀκούειν. ταχὺ ποιεῖ πᾶ
σι κακῶς:— δαπανώμενος ἐφ᾽ ἃ
μὴ δεῖ, ὀλίγος ἕξει ἐφ᾽ ἃ δεῖ:—

## λς Περὶ μέθης:—

ἀπο Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσω
μεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις:—
σο Ὃς ἐστιν ἐκλύοις ἐν οἴνοις διατριβαῖς, ἐν τοῖς

ἑαυτοῦ ὀχυρώμασι. καταβάλλεται ἀτιμίαις:—
Πᾶς μέθυσος καὶ πορνοκόπος. ἐνδύσε-
Βασι
ται διερρηγμένα:— Ὁ οἶνος τὸ πα-
ρὰ θεοῦ δῶρον εἰς παραμυθίαν τῆς ἀ-
σθενείας. δεδομένον τοῖς σωφρονοῦσιν.
ὅπλον δὲ νῦν γενόμενον ἀκολασίας.
τοῖς ἀσελγαίνουσιν:— Τὸ ἐκ τοῦ οἴνου
πῦρ ἐγγινόμενον τῇ σαρκί, ἐξάμμα γίνε-
ται τῶν πεπυρωμένων βελῶν τοῦ ἐχθροῦ.
τὸν μὲν γὰρ λογισμὸν καὶ τὸν νοῦν, ὁ οἶνος
κατακλύζει. τὰς δὲ ἐπιθυμίας καὶ τὰς
ἡδονάς. ὥσπερ ἔλαιον φλόγα ἐξάπτει:—
Ἀμετρία οἴνου. λογισμὸν κατασκεδάννυσι σώ-
φρονα:— Μέθη ἐστίν. ἔκστασις τῶν
ὀρθῶν λογισμῶν καὶ παραφροσύνη. καὶ τῆς
κατὰ ψυχὴν ὑγείας. ἀναίρεσις:—
Ὁ οἶνος ὁ τὰν παρενθῆ τῇ ἀμετρίᾳ τὴν
χρῆσιν. ἀκολασίας ἐστὶν ὑπέκκαυμα.
ἡδονῶν χορηγία. νεότητος λύμη. ψυχῆς
δηλητήριον. καρδίας νέκρωσις. ἀρετῆς
Κλήμεντος·
ἀλλοτρίωσις:— Πᾶς γὰρ οἰνώδης
κατὰ τὴν τραγῳδίαν, ἥττων μὲν ὀργῆς
Πλουτάρ(χου)
ἐστί. τοῦ δὲ νοῦ, κενός:— Φθείρεται ὁ
μὲν κόσμος, πυρὶ καὶ ὕδατι. ὁ δὲ τῶν ἀκο-
λάστων πλοῦτος, ἔρωτι καὶ μέθῃ:—

ὁ ταμίας ἄκρατος, ὃ μὴ ἀναγκάζει φρονεῖν:—
οὐ γὰρ τὸ πλῆθος ἀνακοπτικῆς τοῦ πο
τοῦ ποιεῖ παροιμεῖν· τοῦ πόματος
δὴ ἡ φύσις:— Κιρναμένου κρατῆρος
ἀναχάρσιδος· ἐφεστίου· τὸν μὲν πρῶτον ὑγείας πίνεσθαι·
τὸν δεύτερον ἡδονῆς· τὸν δὲ τρίτον ὕβρε
ως· τὸν δὲ τελευταῖον μανίας:—

— ··· — ··· — ··· — ··· — ··· — ·· —

## λζ ΠΕΡὶ ὕπνου:—

σο ἐνδύσεται διερρηγμένα καὶ ῥακώδη.
θεο πᾶς ὑπνώδης:— ἂν ἦς ὑπνώδης.
ἐμπλήσῃ ὀνειράτων· μακρὸς γὰρ ὕπνος.
φασμάτων οὐ πραγμάτων:—
φίλω ὁ ὕπνος ὥσπερ τελώνης. τὸν ἥμισυν ἡμῶν
τοῦ βίου συνδιαιρεῖται χρόνον:—
ὕπνος ἐστί. φύσεως ποσὴ στάσις. εἰ
κὼν θανάτου. αἰσθήσεων ἀργία:—
Εἰκότως μελέτην μὲν θανάτου· σκιὰν
δὲ καὶ ὑπογραμμὸν τῆς ἀληθοῦς ἐσομένης ὡς
ἀναλύσεως. τὸν ὕπνον οἱ ἀληθῆ πε
φρονηκότες ἀπεφήναντο· ἑκάτερον
γάρ, ἐναργῶς φέρει τὰς εἰκόνας· μεθι
στῶν γὰρ καὶ παριστᾷ, τὸν αὐτὸν ἐξ ὁμοίου νεκροῦ:—

— ··· — ··· — ··· — ··· — ··· — ·· —

## λη ΠΕΡὶ ἐνυπνίων:—

Βασι ὥσ γὰρ ἐστὶ· τὰ μὲν τοῦ καθ' ὕπνον φαν-
τάσματα, τῶν μεθημερινῶν ἐννοι-
ῶν εἰσὶν ἀπηχήματα:— πεφύκασι
γὰρ πως αἱ καθ' ὕπνον φαντασίαι ὡς
τὰ πολλὰ, ἀπηχήματα εἶναι τῶν με-
θημερινῶν φροντίδων· ὁποῖα γὰρ ἂν
ᾖ τὰ κατὰ τὸν βίον ἡμῶν ἐπιτηδεύμα-
τα, τοιαῦτα ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια:—
ἀνάγκη τὰς μεθημερινὰς φροντίδας
παραφυλάσσειν· ἐν ταῖς ἑαυτῶν φαντα-
σίαις ἐξαπατῶσι τὸν νοῦν:— τὸ
καθ' ὄναρ ἰδεῖν τὰ ποθούμενα· φέρει
τοῖς ἀπατῶσι παραμυθίαν:—

Οἱ μεθ' ἡ καὶ ἀδελφοφάγοι διοδουλούμενοι·
οὐ τὸν ὕπνον αἱροῦνται γνήσιον εἶναι
κρίνει· οὐ τὸ ὀνειράτων ἀπαλλάσσονται
φοβερῶν:—

Νείλου Ὁ τοῖς ὀνείροις προ-
σέχων· ἔοικε τῷ τὴν σκιὰν αὐτοῦ κα-
ταδιώκοντι:— ∴ — ∴ — ∴ —

λθ' Περὶ πίστεως:—

Ἀπο Χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πί-
στεως:— πίστις ἐστὶν, ἐλπιζομέ-
νων ὑπόστασις· πραγμάτων ἔλεγχος
Βασι οὐ βλεπομένων:— πίστις ἐστὶ συγκα-
τάθεσις ἀδιάκριτος τῶν ἀκουσθέντων:—

τοῦτο μάλιστα πίστεως. μὴ ζητεῖν εὐθύνας τῶν προσταττομένων. ἀλλὰ πείθεσθαι τοῖς ἐπιταττομένοις :—

πίστις, μήτηρ καὶ ἀσφάλεια καὶ συμπεριφορὰ τῶν ἀρετῶν ὑπὲρ χ͞υ :—

ΝΥϹΗϹ πίστις μόνη κρατεῖ τὸν ἀκράτητον. πίστις μόνη κατανοεῖ τὸν ἀθέατον :—

ἀριστοτέλους ὥσπερ φασὶν ἐν ἰατρικῇ τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁπόσῳ ἂν θρέψῃς μᾶλλον βλάπτεις [illegible] ὑπομαλακῶν τῇ κακοχυμίᾳ. οὕτως καὶ ψυχὴν μοχθηροῖς δόγμασι προκατειλημμένην. ὁπόσῳ ἂν διδάξῃς μᾶλλον βλάπτεις. μείζονας ἀρχὰς αὐτῇ τῆς κακοδοξίας παρέχων :—

* * *

## μ̃ς̈ ΠΕΡῚ ἘΛΠΊΔΟϹ ΕἸϹ Θ͞Ν :—

δαδ ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ :—

ἰὼβ ὁ πεποιθὼς ἐπὶ κ͞ν. σωθήσεται :—

δαδ ἀποκάλυψον πρὸς κ͞ν τὴν ὁδόν σου καὶ ἔλπισον :—

σιρα^χ ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεὰς καὶ ἴδετε τίς ἤλπισεν ἐπὶ κ͞ν καὶ κατῃσχύνθη :—

ἀμήχανον τοῦ σκοποῦ ἐκπεσεῖν τὸν ὅλην διάνοιαν ἐπὶ τὸν θ͞ν ἐλπίζοντα. καὶ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέροντα :—

ΝΕΙ τὸ ἐλπισθὲν ἀγαθὸν εἰς τοὐναντίον περιστὰν. ἀπαραμύθητον ἔχει τὸ πάθος :—

Λευκίππου τὸ γὰρ εἰδέναι κἂν μήπω παρῇ· τέρπει
ταῖς ἐλπίσιν :— ⁖ — ⁖ — ⁖ — ⁖ — ⁖ ✱

μα'

## ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ :—

εὐαγ Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται; καὶ
ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ
τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς :—

Βασι Οὐδὲν ἀπρονόητον· οὐδὲν ἠμελημένον πα
ρὰ θεῷ· πάντα σκοπεῖ ὁ ἀκοίμητος
ὀφθαλμός· πᾶσι πάρεστι σκορπίζων ἑ
κάστῳ τὴν σωτηρίαν :—

Ἐπικούρου Χάρις τῇ μακα
ρίᾳ φύσει· ὅτι τὰ μὲν ἀναγκαῖα ἐποίησεν εὐπό
ριστα· τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα :—

Θεοπέμπτου μήτε τὸ αἴτιον κακῶν τὸ θεῖον ὑπολάμβανε.
μήτε τὸ χωρὶς αὐτοῦ διατυχεῖν ἱκανῶς νόμιζε :—

Ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται.
τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται :—

Πλάτωνος Ὁ τὰ εὐμενῆ τοῦ θεοῦ ἂν πρᾶξαι τὰ μὲν ἀνδρῶν
ἀγαθοῖς ἐποίησεν· ὁ τὰ δὲ εὐμενῆ τῶν κακῶν :—

~ ⁖ — ⁖ ~ ⁖ — ⁖ — ⁖ — ⁖ ✱

μβ'

## ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ :—

ἀποστόλου Ἰακώβου Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω :—

Σολομῶντος Θυσίαι ἀσεβῶν, βδελύγματα κυρίῳ· προσευχαὶ δὲ
κατευθυνόντων, δεκταὶ παρ' αὐτῷ :—
μακρὰν ἀπέχει ὁ θεὸς ἀπὸ ἀσεβῶν· εὐχαῖς δὲ
☧ δικαίων ὑπακούει :— μέγα ἀγαθὸν

ἡ εὐχή. ἐὰν μετὰ διανοίας εὐχαρίστου γένηται :—

Καλὸν πάντοτε διὰ προσευχῆς ὁμιλεῖν τῷ θεῷ. εἰ γὰρ συντυχία ἀνδρὸς ἀγαθοῦ ὠφελεῖ τὸν ἐντυγχάνοντα. πόσῳ μᾶλλον τὸ καὶ ἐν ἡμέραι καὶ ἐν νυκτὶ προσομιλεῖν τῷ θεῷ :— Ἐνώπιον κῦ εὔχεται. ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συνάγων καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν. ἀλλὰ πρὸς αὐτὸν ἑαυτὸν μετοικίσας. Ϛ πάντα ἀνιμώμενος μόνον ἀπὸ τῆς ψυχῆς ἐκ κακῶν :— Οὐχ οὕτως τὸ πῦρ τὸν ἰὸν ἀποσμήχει. ὡς αἱ νυκτεριναὶ δεήσεις. τὸν ἰὸν τῶν ἡμετέρων ἁμαρτημάτων :—

Προσευχὴ μεγάλη καὶ ἡ διὰ ῥημάτων δέησις. μεγάλαι καὶ αἱ ὑποσχέσεις καὶ εὐφημίαι :—

ΝΥΣΣΗΣ

Ἐκ τοῦ προσεύχεσθαι. περιγίνεται τὸ μετὰ τοῦ θῦ εἶναι. χωρίζεται δὲ τοῦ θῦ. ὁ μὴ συνάπτων ἑαυτὸν διὰ προσευχῆς τῷ θεῷ :— ὅλη χορὸς ἐστιν ἐκτενὴς ἡ φωνὴ καὶ μέχρι τῆς θύρας [illegible] ἀκοῆς. οὐχ ἡ μετὰ τόνου διατεινομένη κραυγή. ἀλλ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως. ἀναπεμπομένη ἐνθύμησις :—

ἰσοκράτους

Οἱ ἄνοι γίνονται μέτριοι. ὅταν θεῷ προσεύχωνται. ὅμοιον δὲ ἔχουσι θεῷ. τὸ εὐεργετεῖν Ϛ ἀληθεύειν :—

μδ

## περὶ πράξεως :—

Θεο πρᾶξις ἐστὶν ἐπίβασις θεωρίας :—
ὁμοίως ἀτελὴς ἄλογος πρᾶξις. καὶ λόγος
ἄπρακτος :— ἄφωνον ἔργον,
☧ κρεῖσσον ἀπράκτου λόγου :— πρᾶξις.
λόγου ἐνεργεστέρα. ὡς ἀκοῆς ὄψις. καὶ
τῆς διὰ σώματος διδαχῆς. ἡ διὰ πείρας
τῶν ἔξω. διδασκαλία :— χρόνος. μαλάσσει
πάντα κ(αὶ) ἐξεργάζεται :— πολλῶν ὁ και
ρὸς. γίνεται διδάσκαλος :— κρεῖσσον
πλούτου καὶ πολυχρύσου χλιδῆς. ἀνδρῶν
δικαίων κἀγαθῶν παρουσία :—

με

## περὶ διδαχῆς. καὶ λόγων. καὶ ὁμιλί(ας) :—

ματθ ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας
κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν :—
ἀπο ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι. καὶ
σο βραδὺς εἰς τὸ λαλῆσαι :— εἰς ὦτα
ἄφρονος μηδὲν λάλει. μή ποτε μυκτηρί
σιρα σῃ τοῖς συνετοῖς σου λόγοις :— ἐξήγησις
μωροῦ. ὡς ἐν ὁδῷ φορτίον ἐπὶ δὲ χεί
λεσι συνετοῦ. εὑρεθήσεται χάρις :—
βασι λόγος ἐστὶ. νοῦ γέννημα :— κρεῖττον
θεο τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέ

ροις. ἢ ἄλλων ἐπιμόχθοις εἶναι ἀμεταστάκμο:—
Βέλτιον ἀγνοεῖν καλῶς. ἢ μανθάνειν κακῶς:—
Οὐκ ἀκίνδυνος ἡ ἀκρόασις. ὅταν ἡ διὰ
τῶν ἔργων ἐπίδειξις. μὴ συμβαίνηι
τοῖς λεγομένοις:— Ἔστι γνῶσις. λόγου
χωρίς· καὶ ἔστι γνῶσις μετὰ λόγου· καὶ γὰρ
εἰσὶ πολλοὶ γνῶσιν μὲν ἔχοντες. λόγον
ΝΥCΗC δὲ οὐκ ἔχοντες:— Βουλοίμην δ᾽ ἂν
ἐγὼ τῶν ἀμαθῶν τι λεγόντων ἀκούειν
ΔΙΑΔΥ ΜΟΥ μᾶλλον. ἢ λέγειν αὐτός:— Τότε ἀμύνει
διδάσκαλος καὶ πιστεύεται μᾶλλον. ὅταν
ἀφ᾽ ὧν πράττει παιδεύηι. κατὰ τὸ ὧν λέ
ξ αὐτοῖς ποιεῖν ἃ διδάσκει:—
ἰσιδώ Βίος ἄνευ λόγου μᾶλλον ὠφελεῖν πέφυκεν.
ἢ λόγος ἄνευ βίου· ὁ μὲν γὰρ καὶ σιγῶν ὠ
φελεῖ· ὁ δὲ καὶ βοῶν ἐνοχλεῖ· εἰ δὲ καὶ λόγος καὶ
βίος συνδράμοιεν. φιλοσοφίας ἁπάσης
ἀποτελέσουσιν ἄγαλμα:— Πρᾶττε
λογικῶς καὶ λέγε πρακτικῶς:—
Κλει τάρχ Ἐν συλλόγοις. πρῶτος λέγειν μὴ ἐπιτήδευε.
μετὰ γὰρ πλέον μαθὼν λέξεις. ὅ τι μᾶλλον τὰ
δ μέναν συμφέροντα:— Μισῶ πονηρὸν. χρηστὸν
ὅταν εἴπηι λόγον:— Τὰ ὦτά σου μὴ
πᾶσιν ὕπεχε λόγοις· λόγος γὰρ κακὸς.
κακῶν ἔργων ἡγεμών:— Αἱρετώτερόν σοι

ἔπος μῦθον εἰκῆ λαλεῖν, ἢ ἀργὸν λόγον:—

νο πίδης — Οἷον ποτὲ δὴ ὁποῖα ἡ φύσις τοῦ ἀνδρὸς εἴη,
τοιοῦτον ἔφασκεν εἶναι καὶ τὸν λόγον:—

ρωμύ λον — Ῥωμύλος τὸν μὲν κέραμον ἐκ τοῦ κόμπου
ἔφη δοκιμάζεσθαι· τὸν δὲ ἄνδρα ἐκ τοῦ
λόγου:— οὐ πώποτ' ἔργου μᾶλλον ἢ λόγον λόγος:—

— ::: — ::: — ::: — ::: — ::: — ::—

## με. Περὶ νουθεσίας:—

Εὐαγγε — Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε ἵνα:—

Ἀπο — Παρακαλοῦμεν ὑμᾶς ἀδελφοί, νουθετεῖτε
τοὺς ὀλιγοψύχους καὶ ἀτάκτους· καὶ ἀντέχεσθαι
τῶν ἀσθενῶν. καὶ πάντοτε τὸ ἀγαθὸν διώκετε:—

Συμφέρει δάκνεσθαι διὰ τῆς τῶν ῥημάτων
ἀλγηδόνος τοὺς ἁμαρτάνοντας. ἵνα τῆς
τῶν πραγμάτων αἰσχύνης ἀπαλλαγῶσιν:—

Διογένους. — Νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν,
ταὐτόν ἐστι:—

Ἀριστοτέλους — Πάντες ὡς εἰπεῖν,
τοὺς μὲν ὑπηρετοῦντας ταῖς αὐτῶν ταῖς ἐπι-
θυμίαις ἀποδέχονται· καὶ νομίζουσιν
οὐ μόνον εὔνους, ἀλλὰ καὶ μόνους ἄνδρας ὡς ἀ-
ληθῶς εἶναι· τοῖς δὲ σωφρονίζειν ἐθέλουσι χαλεποῦ-
σιν. ἀηδῶς ἔχουσιν :— Αἴσωπος ἔφη·
δύο πήρας ἕκαστον ἡμῶν ἐπιφέρειν· τὴν
μὲν ὄπισθεν. τὴν δὲ ἔμπροσθεν· καὶ εἰς
μὲν τὴν ἔμπροσθεν. ἀποτίθεσθαι τὰ τῶν ἀλ-

λον ἁμαρτήματα· εἰς δὲ τὴν ὄπισθεν
Ἰσοκράτους. τὰ ἑαυτῶν: — μηδενὶ πονηρῷ πρά
γματι μήτε προΐστασο. μήτε συνηγόρει·
δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν.
οἷα τοῖς ἄλλοις πράττουσι βοηθεῖς: —
Εὐριπίδου ἅπαντες ἐσμὲν εἰς τὸ νουθετεῖν σοφοί· αὐ
τοὶ δὲ ὅταν ποιῶμεν, οὐ γινώσκομεν: —

— ∴ — ∴ — ∴ — ∴ — ∴ —

## μϛ περὶ παιδείας καὶ φιλοσοφίας: —

Σολο. Υἱέ μου, μὴ ὀλιγώρει παιδείας κυρίου. μηδὲ
ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος: —
Σιράχ. τέκνον· ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν.
καὶ ὡς ἀροτριῶν καὶ σπείρων πρόσελθε
αὐτῇ. καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς αὐτῆς: —
Θεο. Οἶμαι δὲ πᾶσιν ἀνωμολογεῖσθαι τῶν νοῦν
ἐχόντων. παίδευσιν τῶν παρ' ἡμῖν ἀγα
θῶν εἶναι τὸ πρῶτον: — σοφώτα
τοι τῶν πολλῶν. οἱ κόσμου χωρίσαντες
ἑαυτούς. καὶ τῷ θεῷ τὸν νοῦν καθιερώσαντες: —
ἐγὼ μίαν σοφίαν οἶδα· τὸ φοβεῖσθαι τὸν
θεόν· ἀρχὴ γὰρ σοφίας, φόβος κυρίου: —
Ἰσιδώρου. Ὀνείρῳ ἔοικεν ὁ τῶν ἀπαιδεύτων νοῦς· κε
νὰς ἔχων φαντασίας: — Σωκράτης
Σωκράτους. ἐρωτηθεὶς τί τῶν ζώων κάλλιον. ἔφη.
ἄνθρωπος παιδείᾳ κεκοσμημένος: —

ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος ὅτι κακαρίζῃ, ἔφη· ἐγὼ μὲν τοῖς λόγοις· σὺ δὲ τοῖς τρόποις :—

Κλεάνθους· Κλεάνθης τοὺς ἀπαιδεύτους ἔφη· μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν :—

Θεοκρίτου Φιλόσοφος ἔχων β΄ μαθητάς· ἕνα μὲν ἀφυῆ φιλόπονον δέ· ἕτερον δὲ εὐφυῆ ἀργὸν δέ, εἶπεν· ἀμφότεροι ἀπόλοισθε· ὅτι σὺ μὲν θέλων οὐ δύνῃ· σὺ δὲ δυνάμενος οὐ θέλεις :— Κρεῖττον ὀψιμαθῆ καλεῖσθαι. καὶ μὴ ἀμαθῆ :—

Δημάδου Τί ἡ γῆ καρ ὑπέρον κασσάζει· ἄνθρωπον ἀπαίδευτον :— ::: — ::: — ::: —×

## μζ΄ Περὶ ἐπαίνου :—

Θεοδ Αἱ τῶν τιμῶν ὑπερβολαὶ· παρασκευάζουσι ἡμᾶς· καὶ τοῦ δέοντος ὑπερφρονῆσαι :—

Κλημεντ. Τὸν μὲν μακαρισμὸν τοῖς θεοῖς· τὸν δὲ ἔπαινον. τοῖς ἀγαθοῖς ἀπονέμειν δεῖ :—

Μοσχίωνος· Εἰ θέλεις καλῶς ἀκούειν, μάνθανε καλῶς λέγειν· πειρῶ καλῶς πράττειν. καὶ οὕτως καρπώσῃ τὸ καλῶς ἀκούειν :—

ντα γόρα· Ζῶν μέν, ἐπαινοῦ· ἀποθανὼν δέ, μακαρίζου :—

ορί ου Χρὴ τὸν μὲν ἄξιον ἐπαίνου. ἐπαίνοις τιμᾶν· τοῖς δ' ἀναξίοις. μῶμον ἐπιθεῖναι· ἴση γὰρ ἁμαρτία καὶ ἀμαθία. μέμφεσθαί τε τὰ ἐπαινετά. καὶ ἐπαινεῖν τὰ μωμητά :—

μη ϛ περὶ κολακείας:—

Πλάτωνος — Χαίρειν χρὴ τοῖς ἐλέγχουσι μᾶλλον ἢ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ ἐπιτιμῶντες ἡμᾶς· διορθοῦσιν· οἱ δὲ χαριζόμενοι· ἐκλύουσι καὶ σκελίζουσιν:—

Ἀντισθένους — Ἀντισθένης φησίν· ἀμεινότερον εἰς κόρακας ἐμπεσεῖν. ἢ εἰς κόλακας: οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα· οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται:—

Ἐπικτήτου — Οἱ μὲν κόρακες· τῶν τεθνηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται· οἱ δὲ κόλακες, τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσιν:—

μθ ϛ περὶ ψόγου καὶ διαβολῆς:—

Σολομῶντος — Καλύπτουσιν ἔχθραν. χείλη δίκαια· οἱ δὲ ἐκφέροντες λοιδορίας. ἀφρονέστατοί εἰσι:—

Σιρὰχ — Ἀνὴρ ἁμαρτωλός, ταράξει φίλους· καὶ ἀνὰ μέσον εἰρηνευόντων. ἐκβαλεῖ διαβολήν:— Πρὶν ἐξετάσῃς. μὴ μέμψῃ· νόησον πρῶτον. καὶ τότε ἐπιτίμα:—

Βασι — Τρισὶν ὁμοῦ προσώποις τὴν βλάβην προσαρτᾷ ὁ διαβάλλων· τόν τε γὰρ συκοφαντούμενον ἀδικεῖ· καὶ πρὸς οὓς ὁ λόγος ἐστὶν αὐτοῦ. καὶ αὐτὸν ἑαυτόν:—

Θεο — Κακῶς ἀκούειν κρεῖσσον. ἢ λέγειν κακῶς:— Ἅπτεται καὶ οὐ τῶν πονηρῶν μόνον. ἀλλὰ καὶ τῶν ἀρίστων ὁ μῶμος:—

☧ — Οὐ δυνατὸν τοῖς ἐν ἀρχῇ ὄντας. παραιτεῖσθαι τὸ ἀκούειν κακῶς:—

Οἱ πολλοὶ τῶν ἀνθρώπων· τῶν μὲν ἰδίων ἁμαρτημάτων, συνήγοροι γίνονται· τῶν δὲ ἀλλοτρίων κατήγοροι:—

πλουτ
σωκρά
τους

γλῶσσα ματαία, διανοίας κακῆς ἔλεγχος:— Τὸν θεὸν καὶ διάβολον ἄνδρα μὴ προσδέχου· οὐ γὰρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ· ὡς γὰρ τὰ τῶν ἄλλων ἀπόρρητα ἀπεκάλυψέ σοι, οὕτως καὶ τὰ ὑπὸ σοῦ λεγόμενα, ἑτέροις ἀναθήσει:—

ιοσχί
ωνος·

Ὑπὸ πολλῶν διαβάλλεσθαι κακῶν, οὔτε ἀμαθὲς οὔτε ἀμαυρόν· τὸ δὲ ὑφ᾽ ἑνὸς ἀγαθοῦ ψέγεσθαι, καὶ ἀμαθὲς καὶ οὐ μοι τερπνόν:—

οξ του

Ὁ ἐνδιαβάλλων φίλον, μὴ ἀδοκιμήτω κἂν ἀληθεύῃ:—

μενάνδ

Ὅστις διαβολαῖς πείθεται ταχύ, ἤτοι πονηρὸς αὐτός ἐστι τοῖς τρόποις, ἢ παντάπασι παιδαρίου γνώμην ἔχει:—

κλεο
βούλ

Τῶν κατὰ ῥώμην ζώντων, ὁ τῆς λοιδορίας μῶμος οὐχ ἅπτεται:—

* * *

## Ν. ΠΕΡῚ ΜΝΉΜΗΣ:—

σιράχ

Ἐν πᾶσι τοῖς ἔργοις σου μιμνήσκου τὰ ἔσχατά σου· καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις:—

θεο

Μνημονευτέον θεοῦ μᾶλλον ἢ ἀναπνευστέον:— Τὸν θεὸν ἔργοις μὲν σέβου· λόγοις δὲ ὕμνει· ἐννοίαις δὲ τίμα:—

ἐπικτή
του

Ἔσο ἀεὶ μνημονεύων ὅτι οἷ᾽ ἔργα ζῇ κατὰ ψυχὴν ἢ σῶμα, θεὸς παρέστηκεν ἔφορος. ἐν πάσαις σου ταῖς προσευχαῖς καὶ ταῖς πράξεσιν οὐ μὴ ἁμαρτήσῃς· ἕξεις δὲ τὸν θεὸν σύνοικον:—

* * *

## ΝΑ. ΠΕΡῚ ΨΥΧΗ͂Σ:—

βασι ψυχῆς θησαύρισμα, σώματος ἔνδυμα· τοῦ
του γὰρ πλουτοῦντος ἑκάτερα πέφυκεν :—
δέχεται μὲν γὰρ ζωὴν ἐκ τῆς ψυχῆς τὸ σῶμα·
μεταλαμβάνει δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώμα-
τος ἡ ψυχή :— αἵματι καὶ πνοῇ κρατεῖ-
ται ἡ ψυχή· τούτων γὰρ ἐκλιπόντων, ἀνα-
χωρεῖ καὶ ἡ ψυχή :— οὐ μόνον ἄνθρωποι ταῖς κα-
θημεριναῖς νόσοισιν, ἀλλὰ καὶ πάντων ἀνθρώπων
θεο αἱ ψυχαί :— τρέφεται μὲν γάρ, διὰ ψυ-
χῆς σῶμα· κοινωνεῖ δὲ διὰ σώματος πά-
θους ἡ ψυχή :— ὑποχωροῦσα τοῦ σώματος
ἡ ψυχή, ἐν συναισθήσει γίνεται τοῦ μέλλοντος
αὐτὴν δέχεσθαι ἀγαθοῦ ἢ κακοῦ· ἀλλὰ ὡς
αἰσθάνεται τῶν μὲν, ἐλθόντων εἰς αὐτὴν ἐχθρῶν
μόνων· αἱ δὲ τῶν δικαίων, καὶ πρὸ ἐκβάσεως
ὑπὸ τῶν ἱερῶν δέχονται :—

Πάντα διπλᾶ δέδωκεν ἡμῖν ὁ θεὸς τῇ φύσει·
δύο ὀφθαλμούς· δύο ὦτα· δύο χεῖρας, δύο
πόδας· ἐὰν ὁπότερον τούτων πηρωθῇ, διὰ
τοῦ ἑτέρου τὴν χρείαν παραμυθούμεθα·
ψυχὴν δὲ μίαν δέδωκεν ἡμῖν· ἐὰν ταύτην
ἀπολέσωμεν, μετὰ τίνος ἐμμενοῦμεν :—
χ ψυχή ἐστιν, οὐσία τις ἀσώματος καὶ ἀθάνατος :—
κλειταρ τῆς ψυχῆς ὡς ἡγεμόνος ἐπιμελοῦ· τοῦ σώ-
ματος δέ, ὡς στρατιώτου προνόει :—

— ∴ — ∴ — ∴ — ∴ — ∴ — ∴ —

ΝΒ

## περὶ ἰατρῶν :—

σιραχ Ἐπιστήμη ἰατροῦ, ἀνυψώσει κεφαλὴν αὐτοῦ·

Καὶ ὃν ἁμαρτημάτων ἀπαλλάσσων θαυμασίως θεραπεύσαι:

Βασι ἂν ἐπιστήμων ἰατρὸς πρὸς κάμνοντα εἰσιών· ἄν τι τοῦ εἰς ὑγίαν αὐτοὺς ἐσανάγειν. καὶ τὸ μικρὸν μάταιον τῆς δυνάμεως ἀφαιρεῖται: βασ

τὸν γὰρ οὐκ ἰατρὸν, κύριον μηδὲ ἔχειν φάρμακα· ὁ μὲν οὖν μὴ ἔχων, οὔτε σώζει οὔτε ἀπόλλυσιν· ὁ δὲ ἔχων, ἀπόλλυσιν· οὐκ εἰδὼς ὅπως χρήσεται αὐτοῖς:

Διδυ μου ἄκρον ἰατρὸν λέγομεν· οὐ τὸν θεραπεύοντα πάντας· ἀλλὰ τὸν μηδὲν εἰς ἀφορμὴν ἀνήκοντα καὶ θεραπείαν παραλείποντα:

ἰατρὸν καὶ φίλον ἴσμεν, τοὺς ἐν ἀνάγκαις σπουδαίους:

Νικο κλέους Νικοκλῆς τοὺς ἰατροὺς εὐτυχεῖς ἔλεγεν· ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ· τὰς δὲ ἀποτυχίας ἡ γῆ καλύπτει:

## ΝΓ Περὶ νοσούντων:

Σιρα Ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν, ἐμπεσεῖται εἰς χεῖρας ἰατροῦ:

Βασι Ἡ μὲν ἁμαρτία ποιεῖ τὴν ἀσθένειαν:

Πολλάκις καὶ μάστιγες ἁμαρτημάτων εἰσὶ τὰ ἀρρωστήματα· ὃν γὰρ ἀγαπᾷ κς παιδεύει:

Πολλάκις καὶ φύσις ἀθρόον ὑπερκατέβη μόνη, πρὸς τὴν τοῦ κάμνοντος ὑγίαν· ἔτι δὲ ὅπου καὶ ὕπνος προσπεσὼν πρὸς καιρὸν, πᾶν τὸ ἀπήλλαξε τε μου τὸν ἰατρόν:

## ΝΔ Περὶ θανάτου:

βασι

ἡ ἐπὶ πλεῖον ἐνταῦθα διατριβή, πλειόνων κακῶν ἐστὶν ἀφορμή:— ἔστι τις αἰτία ἀκατάληπτος. διατί οἱ μὲν θᾶττον ἐντεῦθεν ἀπάγονται. οἱ δὲ ἐπὶ πλεῖον προσταλαιπωρεῖν τῷ ὀδυνηρῷ τούτῳ βίῳ καταλιμπάνονται:— προσῆκε καὶ τὸν ἀρχόμενον τοῦ βίου, ἐν ὀφθαλμοῖς ἔχειν τὴν τελευτήν:— δεῖ παρεσκευασμένους ἐφ᾽ ἡμέραν εἶναι πρὸς τὴν ἐντεῦθεν ἀποδημίαν ἡμᾶς. καὶ τὸ τοῦ δεσπότου νεῦμα περιμένειν. ἔστωσι τοῖς ὀφθαλμοῖς. ἔστωσαν γὰρ φησὶν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι. καὶ οἱ λύχνοι καιόμενοι. καὶ ὑμεῖς ὅμοιοι ἀνοις προσδεχομένοις τὸν κν ἑαυτῶν. πότε ἀναλύσει ἐκ τῶν γάμων:— θάνατος ἐστί, ἀφαίρεσις ζωῆς:— πονηρᾶς βιοτῆς. πονηρὸν ἔσται τὸ τέλος:—

δεῖ δὲ ἐπὶ θανάτῳ χαίρειν. ἂν μὲν νέος, ὅτι ταχέως ἀπηλλάγη τῶν ἐν μέσῳ κακῶν. ἂν δὲ πρεσβύτης. ὅτι ὃ δοκεῖ ποθεινὸν εἶναι. τοῦτο μετὰ κόρου λαβὼν ἀπῆλθεν:— ἐκ τοῦ βίου κράτιστόν ἐστιν ἐξελθεῖν, ὡς ἐκ συμποσίου μήτε διψῶντα μήτε μεθύοντα:— ὁ ἐν νόσῳ διαθήκας γράφων. ὅμοιός ἐστι:—

ἀριστοτέλους

αἱροῦ καλῶς τεθνάναι μᾶλλον. ἢ ζῆν αἰσχρῶς:— κρεῖττον ἀποθανεῖν, ἢ δι᾽ ἀκρασίας τὴν τύχην

ἰσοκράτους

ἀμαυρώσαι :— Τοῖς μόσοις ὁ θάνατος
ἀμελήμασ ἐστὶ μαθηματικοῖς. ὅσα δ' αὐτὸς
πλάτω- παρεῖναι ἀμαυρώσαι :— Οἱ μὲν ζῶν-
νος τες. ἐκ τῶν φίλων. οἱ δὲ τεθνεῶτες. ἐκ
εὐρι- τῶν ἐστὶ τρόπων δείκνυνται :—
π Ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους. τὸν
φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά.
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον.
δημο- χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων :—
κρίτου Δημόκριτος νοσήσας καὶ μεθ' ἀρχαίοι περιπε-
σὼν ὥστ' ἂν ἐρρῶσθαι. οὐδὲν μὲν ἔφη ἐξαπα-
τητικὸν ἢ φιλοζωΐα. καὶ δὴ ἤγαγεν ἑαυτὸν τοῦ βίου :—
Ψυχῆς θάνατος οὐ κάκιστον. ἀλλὰ κα-
κὸς μός :— Εἰ μὴ δ᾽ ἦς ἀπέθνησκεν.
ἀτιμώρητος ἂν ἦν ἡ κακία :—
Καυσιανοὶ τοῖς μὲν γεννωμένοις θρηνοῦσι.
τοῖς δὲ τελευτήσαντας μακαρίζουσιν :—

* * *

## ΝΕ Περὶ τοῦ γνῶθι σαυτόν :—

σολο- Περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος.
μῶ καὶ γνῶθι σεαυτόν. ὅτι ἐν πᾶσι τούτοις ἄξει
σιρά- σε ὁ θεὸς εἰς κρίσιν :— συντήρησον καὶ
χ πρόσεχε σφοδρῶς. ὅτι μετὰ τῆς πτώσεώς
ἀντιφά- σου περιπατεῖς :— Οἴομαι τὸ μέλλον
νους ἅπασιν ἀνθρώποις ἄδηλον. καὶ μικροὶ καιροὶ
μεγάλων πραγμάτων αἴτιοι γίνονται. διὸ
δεῖ μετρίας ζημίας ἐν ταῖς εὐπραξίαις. καὶ προορω-
ἡρακλεί- μένους τὸ μέλλον φαίνεσθαι :— Ἡράκλειτος
του

μένος αὐτῶν, πάντων γάρ ἐστι σοφώτερος· ὅτι
ᾔδει ἑαυτὸν μηδὲν εἰδότα :—

σωκρά^τ Σωκράτης ᾤετο μηδὲν εἰδέναι. πλὴν αὐ
τὸ τοῦτο ὅτι μηδὲν οἶδεν :— Οἱ μὲν σφο
δρῶς περιέχονται τὴν ὄρεξιν καὶ τὴν ῥώ
μην· οἱ δὲ ἐν τοῖς πλείοσι παροικοῦν
τες, τὸν νοῦν καὶ τὰ ἤθη πεφύκασι δια
φθείρεσθαι. Εἰ μὴ τὸ γνῶθι σαυτὸν, συχνῶς
ἑαυτοῖς ἐπιφέρουσιν :— ∴ ∼ ∴ ∼ ∴ ∼ ∗

ΝS

## ΠΕΡΙ ΚΑΛΛΟΥΣ :—

Σιράχ μὴ ἐκβδελύξῃς ἄνθρωπον ἐν ὁράσει αὐτοῦ· μηδὲ
αἰνέσῃς ἄνδρα ἐν κάλλει αὐτοῦ :—

Βασι Κάλλος προσώπου, ὑπὸ ἡλικίας μαραίνεται :—
Κάλλος ἐστὶ, τὸ ἐν τῇ συνθέσει τῶν μελῶν
εὐάρμοστον· ἐπανθοῦσαν αὐτῷ τὴν χά
ριν ἔχον :—

Θεο Κάλλος νόμιζε τὴν φρε
νῶν εὐκοσμίαν :—

Οὐκ ἀπὸ τῆς
διαπλάσεως· ἀλλ' ἀπὸ τῶν τρόπων καὶ
τῆς κοσμιότητος, τὸ κάλλος χαρακτη
ρίζεται :—

πλού^τ Εἰς κάτοπτρον κύψας, θεώ
ρει· καὶ εἰ μὲν καλὸς φαίνῃ, ἄξια τούτου
πράττε· εἰ δὲ αἰσχρὸς, τὸ τῆς ὄψεως
ἐλλιπὲς, ὡράιζε καλοκἀγαθίᾳ :—

μενάν^δ Ὅταν φύσει τὸ κάλλος ἐστὶ κοσμῇ τρόπος
χρηστὸς, διπλασίως ὁ προσιὼν ἁλίσκεται :—

σωκράτης Τὰ τῶν καλῶν φιλήματα φυλάττεσθαι
δεῖ, ὥσπερ τὰ τῶν ἰοβόλων δήγματα :—

αἰσώπ Αἴσωπος ὀνειδιζόμενος ὅτι χαλεπὴν εἶχε

τὴν μορφήν. ἔφη· μὴ εἰς τὸ εἶδος· ἀλλ' εἰς τὸν
Σωκρά- νοῦν μου πρόσεχε :— Καλὴν γυναῖ-
τους. κα ἐὰν ἴδῃς. μὴ θαυμάσῃς. τὸ γὰρ πολὺ
κάλλος. καὶ ψόγων πολλῶν γέμει :—

— ··· — ··· — ··· — ··· — ··· — ··· —

## ΝΖ ΠΕΡΙ ΔΟΞΗΣ :—

εὐαγ Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ θῦ :—
Βασι Εἰ δόξης ἐπιθυμεῖς καὶ βούλῃ τῶν πολλῶν
Θεο ὑπερφαίνεσθαι :— Δόξης ἀεὶ φρόν-
τιζε τῆς αἰωνίου· ἡ γὰρ παροῦσα ἀδηλοῦται
☧ καθ' ἡμέραν :— Εἰ βούλει δόξαν λα-
βεῖν, διάκρουσαι δόξαν· εἰ δὲ διώκεις δό-
ξαν. ἐκπίπτεις δόξης· σκιὰ γάρ ἐστι δόξης
Νειλ. αὕτη ἡ δόξα :— Ὁ δόξαν ἀνθρωπί-
νην ζητῶν :— Τοῖς μὲν διὰ τοῦ ἡλί-
ου πορευομένοις ἕπεται κατ' ἀνάγκην σκιά·
τοῖς δὲ διὰ δόξης βαδίζουσιν. ἀκολουθεῖ
φθόνος :— ··· — ··· — ··· — ·· —

## ΝΗ ΠΕΡΙ ΦΘΟΝΟΥ :—

ἀπο Ὅπου ζῆλος καὶ ἐριθεία. ἐκεῖ ἀκατα-
στασία καὶ πᾶν φαῦλον πρᾶγμα :—
Σολω Φθόνος οὐκ οἶδε τιμᾶν τὸ συμφέρον :— Τῷ
ἀνδρὶ ὁ ζῆλος παρὰ τοῦ ἑταίρου αὐτοῦ :—
Βασι Φθόνου γὰρ πάθος, οὐδὲν ὀλεθριώτερον
ψυχαῖς ἀνθρώπων ἐμφύεται :— Οἱ κύνες τρε-
φόμενοι ἡμεροῦνται· καὶ οἱ λέοντες χειροή-
θεις θεραπευόμενοι γίνονται· οἱ δὲ βάσκα-
νοι ταῖς θεραπείαις πλέον ἐξαγριαίνονται :—

Ἔθος τῇ γραφῇ, πολλαχοῦ μετὰ τοῦ φόνου τάσσειν τὸν φθόνον:— Οἱ μισόκαλοι δαίμονες ἐπειδὰν οἰκείας ἑαυτοῖς εὕρωσι προαιρέσεις, παντοίως αὐταῖς ἀποκέχρηνται πρὸς τὸ ἴδιον βούλημα· ὥσπερ καὶ τοῖς ὀφθαλμοῖς τῶν βασκάνων εἰς ὑπηρεσίαν χρήσασθαι τοῦ ἰδίου θελήματος:— Ὁ δαίμων φθονεῖ μέν, ἀνθρώποις δέ· δαίμονι δέ, οὐδείς· σὺ δὲ ἄνθρωπος ὤν, ἀνθρώποις φθονεῖς· καὶ ποίας τεύξῃ συγγνώμης:—

Ἀριστοτέλους.

Ἀριστοτέλης πρὸς τὸν ἐρόμενον πῶς ἀμυνοῦμαι τὸν ἐχθρόν, ἔφη· αὐτὸς καλὸς κἀγαθὸς γενόμενος. εἰ γὰρ ἵπποις ἐχθρῶν ὁρῶντες εὐδοκιμοῦντας ἀνιῶνται καὶ κύνας εὐφημουμένους, τί οἴει τούτους παθεῖν, εἰ σεαυτὸν ἐπιδείξεις ἄνδρα δίκαιον καὶ χρηστόν:—

Ὁ φθόνος, ἀνταγωνιστής ἐστι τῶν εὐτυχούντων:— Ἡ τῶν ἀγαθῶν ἔρις ὠφελεῖ τὸν ζηλοῦντα, μὴ κρατοῦσα τὸν ζηλούμενον:—

Κλεοβούλου

Φύλασσε τῶν μὲν φίλων τὸν φθόνον· τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν:—

Ὁ φθόνος ὥσπερ φαῦλος δημαγωγός, ταῖς κακαῖς ἄν τι πολιτείαις πράξειεν:—

Ἡσιόδου.

Καὶ πτωχὸς πτωχῷ φθονέει, καὶ ἀοιδὸς ἀοιδῷ·
καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων:—

……

νθ

## Περὶ βασιλέως χρηστοῦ καὶ δικαίου· καὶ περὶ ἀρχῆς καὶ ἐξουσίας:—

Σο Ἐλεημοσύνη καὶ ἀλήθεια, φυλακὴ βασι-
λεῖ· καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ
τὸν θρόνον αὐτοῦ:— Θυμὸς βασιλέως,
ἄγγελος θανάτου· ἀνὴρ δὲ σοφὸς, ἐξιλάσκεται αὐτόν:—
Βασιλέως ἀπειλὴ, ὁμοία βρυγμῷ λέοντος:—
Κ(ύριο)ς καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ· καὶ οὐκ ἔστιν
ἐξουσία εἰ μὴ ὑπὸ θ(εο)ῦ τεταγμένη:— Δεκτὰ
βασιλεῖ, χείλη δίκαια· λόγους δὲ ὀρθοὺς ἀ-
γαπᾷ:— Δεκτὸς βασιλεῖ, ὑπηρέτης νοήμων:—
Εἰρη-ναίου Πᾶς βασιλεὺς δίκαιος, ἱερατικὴν ἔχει τάξιν:—
Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν
Δημο-σθέν(ους) βίον προαιροῦ· ὃν γὰρ πάντες φοβοῦνται,
πάντας φοβεῖται:—
Βασι(λείου) Φρόνιμον τὸ διάδημα οὐ ποιεῖ· νοῦς γάρ ἐστιν
ὁ ἄρχων:— Ἄρχεσθαι μὴ μαθὼν, ἄρ-
Κάτω-νος χειν μὴ ἐπιχείρει:— Τὸν ἄρχοντα
ἢ κριτὴν δεῖ μὴ τὸ ὑπὲρ τῶν δικαίων
μπαρεῖσθαι· μὴ τὸ ὑπὲρ τῶν ἀδίκων
Κύρου ἐκμπαρεῖσθαι:— Ἄρχειν μηδενὶ
προσήκει, ὃς οὐδὲ κρείττων ἐστὶ τῶν ἀρ-
χομένων:— Ὁ πολλοῖς φοβερὸς ὤν,
Δημοσθ(ένους) πολλοὺς φοβεῖται:— Πονηρᾶς φύ-
σεως ἐξουσίας ἐπιλαμβανομένη, δημοσίας ἀπερ-
γάζεται συμφοράς:— Ἐπισφαλὲς μαι-
νομένῳ διδόναι μάχαιραν, καὶ μοχθηρῷ δύναμιν:—

— ... — ... — ... — ... — ... — ... *

ξζ Περὶ βασιλέως, μὴ λίαν θαυμάζειν:—

Σο Βασιλεὺς θρασὺς, ἐμπεσεῖται εἰς κακά:—

Οὐαί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτερος:—
ἡ κακοπραγία. περιτρέπει θρόνους
Σιράχ δυναστῶν:— Πολλοὺς ἀπώλεσε τὸ χρυ-
σίον, καὶ καρδίας βασιλέων ἐξέκλινεν:—

ξδ

## Περὶ ἐπισκόπων χρηστῶν:—

Δευτερονομίου Θεοὺς οὐ κακολογήσεις· καὶ ἄρχοντα τοῦ λαοῦ
σου οὐκ ἐρεῖς κακῶς:—
Σολο Ἱερεῦσι φρόνησις καὶ ἰσχύς· καὶ βασιλεῦσι καὶ
ἀρχομένοις καὶ γνῶσιν ποιεῖ:—
Σιράχ Φοβοῦ τὸν κν̄ καὶ δόξασον ἱερέα· καὶ δὸς τὴν
μερίδα αὐτοῦ, καθὼς ἐντέταλταί σοι:—
Βασι Ὁ τὴν κοινὴν φροντίδα πεπιστευμένος,
ὡς ὀφείλων καὶ λόγον δοῦναι περὶ ἑκάστου
Θεο τῶν ἐμπεπιστευμένων, οὕτως διαλεγέσθω:—
Αὕτη μοι φαίνεται τῷ ὄντι τέχνη τις εἶναι
τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν
τὸ πολυτροπώτατον ζῷον καὶ ποικιλώτατον:—
☧ Ὅσῳ γὰρ μεῖζον τὸ ἀξίωμα, τοσούτῳ μείζους
καὶ οἱ κίνδυνοι τοῖς τὴν ἐπισκοπὴν ἔχουσι·
ἀρκεῖ γὰρ καὶ ἓν κατόρθωμα ἐπισκόπου,
ἀνενεγκεῖν εἰς τὸν οὐνὸν· καὶ ἓν ἁμάρτη-
μα, εἰς αὐτὴν ἐμβαλεῖν γέενναν:—
Πάντας βάσταζε ὡς σὲ ὁ κς̄· πάντων ἀνέ-
χου ἐν ἀγάπῃ· αἰτοῦ σύνεσιν πλείονα ἧς ἔ-
χεις· πάντων τὰς νόσους βάσταζε· ὅπου
γὰρ πλείων κόπος, πολὺ τὸ κέρδος:—
Ὁ γὰρ ἑαυτὸν ἀσκῶν, εἰς ἑαυτὸν μόνον περιΐ

ἀκοὶ τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντι
κῆς κέρδος, εἰς ἅπαντα διαβαίνει
τὸν λαόν:— Οὐ μικρὸν πρὸς ἀρετῆς ἐ
πίδοσιν, ἐπιστασία διδασκάλου διηνεκής:—
μὴ δέον τε τοῖς ἁγίοις θυσιαστηρίοις παρα
στῆς. ἔχων καταστήματος· μὴ πᾶσι εὐκολίαν ἀνομί
α. ἀναξίοις ποιεῖν καὶ ἄλλοις τῆς ἐπιφοι
τήσεως τοῦ ἁγίου πνεύματος:—

ἀθαναίου Δεῖ τὸν λειτουργὸν τῆς ἐκκλησίας, πρὸ
πάντων ἐκτὸς ὀργῆς εἶναι· μὴ ἐπι
πλήττειν, ἀλλὰ παρακαλεῖν:—

—⁖—⁖—⁖—⁖—⁖—⁖—

## ξβ Περὶ ἐπισκόπων μοχθηρῶν:—

προφήτ(ου) ὡσηέ· Σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί
σολομῶ(ντος) σε τοῦ ἱερατεύειν μοι:— Ὁ ἐλάχιστος
συγγνωστός ἐστιν ἐλέους· δυνατοὶ δὲ, δυ
νατῶς ἐτασθήσονται· οὐ γὰρ ὑποστελεῖ
ται πρόσωπον ὁ πάντων δεσπότης. οὐδὲ
ἐντραπήσεται μέγεθος:—

νει(λου) Μὴ νομιζέτωσαν ἀνευθύνως ἐξαπολελυμένους
εἶναι πρόφασιν τὸ πρᾶγμα· πάντων
γὰρ ἐπισφαλέστερόν ἐστιν, ἄρχειν τυχόν:—

—⁖—⁖—⁖—⁖—⁖—⁖—

## ξγ Περὶ ἀρχόντων χρηστῶν:—

σιρά(χ) Πόλις οἰκοδομηθήσεται, ἐν συνέσει δυναστῶν:—
μὴ δοξάζου ἐν τῇ δόξῃ σου· καὶ ἐν ἡμέ
θεολ(όγου) ρᾳ δόξης, μὴ ἐπαίρου:— Ἄρχοντας ἐκ
τῆς ἀρετῆς πρέπον, ἢ τῆς ἐξουσίας θαυμάζειν
ἔχομεν:—

ξδ´ περὶ ἀρχόντων πονηρῶν:—

Δαδ Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν:—
Ἠσαΐου Οἱ ἄρχοντές σου ἀπειθοῦσι· κοινωνοὶ κλεπτῶν·
ἀγαπῶντες δῶρα· διώκοντες ἀνταπόδο-
μα· ὀρφανοῖς οὐ κρίνοντες· καὶ κρίσει χηρῶν
οὐ προσέχοντες:— Ἐπιστήσω νεανίσκους
ἄρχοντας αὐτῶν. καὶ ἐμπαῖκται κυριεύ-
Σολομ σουσιν αὐτῶν:— Κρίσις ἀπότομος ἐν
τοῖς ὑπερέχουσι γίνεται:— Τὰ τῶν
Βασι ἀρχόντων κακά, συμφορὰ τοῖς ἀρχομέ-
νοις γίνεται:— Οὐκ ἐν τῇ χλαμύδι καὶ
τῇ ζώνῃ· οὐδὲ ἐν τῇ φωνῇ τοῦ κήρυκος
ἄρχων· ἀλλ' ἐν τῷ τὰ πεπονηκότα ἀνακτᾶ-
σθαι· καὶ τὰ κακῶς ἔχοντα διορθοῦν· καὶ κο-
λάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ
δυναστείας τὸ δίκαιον ἀπελαύνεσθαι:—
Ὡς ἀλκῇ ἀγρίᾳ καὶ κακίᾳ ἡνιόχου τὰ ὑπε-
ζευγμένα κατὰ κρημνῶν φέρεσθαι· ὥσ-
περ ἐμπειρίᾳ καὶ ἀρετῇ διασώζεσθαι:—

ξε´ περὶ δικαστῶν ἀδεκάστων.
καὶ καθαρὰς ἐχόντων τὰς χεῖρας:—

τῆς ἐξόδ Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς:—
Οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων:—
δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα, ἐκτυφλοῖ ὀ-
φθαλμοὺς βλεπόντων. καὶ λυμαίνεται ῥήμα-
τα δίκαια:— Πένητα οὐκ ἐλεήσεις ἐν
κρίσει:— Οὐ διαστρέψεις κρίμα
πένητος ἐν κρίσει αὐτοῦ:— Οὐ ποιήσεις

ἄδικον ἐν κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ· οὐδ᾽ οὐ μὴ θαυμάσῃς πρόσωπον δυνάστου· ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον:—

ἰωβ· Καθαρὸς χερσὶν ἀναφανεῖ θάρσος· ἄδικον καὶ ἄνομον καταβλέψας:—

σολομ Ἄνοιγε σὸν στόμα λόγῳ θῦ· καὶ κρῖνε πάντας ὑγιῶς· ἄνοιγε σὸν στόμα· καὶ κρῖνε πάντας δικαίως:—

αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν:—

σιραχ μὴ λάβῃς πρόσωπον δυνάστου· ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας· καὶ κς πολεμήσει ὑπὲρ σοῦ:—

βασι Οὐκ ἔστι δικαίου κριτοῦ, ἴσας πρὸς ἴσας ὁρίζειν τὰς ἀντιδόσεις· ἀλλ᾽ ἀνάγκη τὸν κατάρξαντα τοῦ κακοῦ, μετὰ προσθήκης ἀποτίσαι τὰ ὀφειλόμενα· εἰ μέλλοι αὐτός τε βελτίων ταῖς τιμωρίαις γενέσθαι. καὶ τοὺς λοιποὺς σωφρονεστέρους ποιῆσαι τῷ ὑποδείγματι:—

θεολ τῇ τῶν δικαζόντων μακροθυμίᾳ οἱ μὲν ἄδικοι, σκληρότεροι αὐτοὶ ἑαυτῶν γίνονται κατὰ τὸ ἀπειθεῖν· δεῖ δὲ τὸν κριτὴν εἰδέναι ὅτι κυρίου θῦ ὑπηρετεῖ. καὶ οὐκ ἔστιν ὡς βούλεται ἀλλ᾽ ἂν τὸ κρίμα· ὥστε καὶ χαρίζεσθαι τοῖς κρινομένοις τὰ ἁμαρτήματα:—

δημοσθ Οὐχ οὕτω τὸν τῶν γραμμάτων χαρακτῆρα ὀρθοῦν δεῖ, ὡς τὸν τῶν πραγμάτων τηρεῖν· ἡ γὰρ κακὴ κρίσις, παντὸς κακοῦ αἰτία:—

ζ̃ς

## περὶ δικαστῶν ληπτῶν καὶ δωροδοκουμένων:—

Σολομ στόμα ἀσεβῶν. καταπίεται κρίσεις :—

Ἡσαΐου οὐαὶ οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων. καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες ἀπ' αὐτοῦ :— Ἡ βουλὴ τῶν πονηρῶν, ἄνομα βουλεύεται· καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις. καὶ διασκεδάσαι λόγους πενήτων ἐν κρίσει :—

Βασι Ὁ τὴν ἀληθῆ δικαιοσύνην μὴ ἔχων προεγκειμένην ἐν αὐτοῦ τῇ ψυχῇ· ἀλλὰ χρήμασι διαφθειρόμενος. ἢ φιλίαις χαριζόμενος. ἢ ἔχθραν ἀμυνόμενος. ἢ δυναστείαν δυσωπούμενος. τὸ κρίμα κατευθύνειν οὐ δύναται :—

## ξζ΄ Περὶ παίδων ἀναγωγῆς καὶ παιδεύσεως :—

Ἐπικτήτου Τοῖς υἱοῖς σου σπούδαζε πεπαιδευμένοις μᾶλλον ἢ πλουσίοις καταλιπεῖν· κρείττους γάρ εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες. ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος :—

Σολομ Ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ :— Μὴ ἀπόσχῃ νήπιον παιδεύειν· ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται :— Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ, ἐνδελεχίσει μάστιγας αὐτῷ· πληγαὶ γὰρ καὶ ἔλεγχοι, διδόασι σοφίαν :— Υἱῷ καὶ θυγατρὶ μὴ προσμειδιάσῃς. ἵνα μὴ ὕστερον δακρύσῃς :— Ἐκ σπέρματος ὄφεων, ἐξελεύσονται ἔκγονα ἀσπίδων :—

Εὐριπίδου Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει, ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος :—

σόλω νος· Σόλων ὁ νομοθέτης ἐρωτηθεὶς διατί κα
τὰ τῶν μὴ τιμώντων τοὺς πατέρας οὐκ ἔθηκε τι
μωρίαν οὐχ ὥρισεν· ἔφη· ὅτι οὐχ ὑπέλαβον τοι
ούτους τινὰς ἔσεσθαι: — ∴ — ∴ — ∴ —×

ξη Περὶ πατραλοίων καὶ μητραλοίων:—

Ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανά
τῳ τελευτάτω:— Ἐπικατάρατος πᾶς
ὁ ἀτιμάζων πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ:—

σολο Υἱὸς ἀνήκοος, ἐν ἀπωλείᾳ ἔσται:— οὐκ εὐ
φραίνεται πατὴρ ἐπὶ υἱῷ ἀπαιδεύτῳ· υἱὸς
δὲ φρόνιμος, εὐφραίνει μητέρα αὐτοῦ:—

σιρα Αἰσχύνη πατρὸς, ἐν γεννήματι ἀπαιδεύτου:—
ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον
μέγα· καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν:—
Θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία· καὶ ἡ
μέριμνα αὐτῆς, ἀφιστᾷ ὕπνον:—

φίλω νος· Οἱ γονέων ἀλογοῦντες· ἑκατέρας μερίδος
εἰσὶν ἐχθροί· καὶ τῆς πρὸς θεὸν, καὶ τῆς πρὸς
ἀνθρώπους: — ∴ — ∴ — ∴ —×

ξθ Περὶ γερόντων ἐναρέτων καὶ συνέ
σει κοσμουμένων:—

σολο βασι Πολιὰ ἐστι, φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως,
βίος ἀκηλίδωτος:— πᾶν τὸ ἀρχαιό
τητι διαφέρον, αἰδέσιμον· διαφέρει δὲ
τοῦ νηπίου καθ᾽ ἡλικίαν οὐδὲν, ὁ ταῖς φρε
σὶ νηπιάζων:— πολιὰ οὐ τρίχες λευ
καὶ, ἀλλὰ ψυχῆς ἀρετή:— Ὁ οὐκ οἶδεν ἡλι
κίας διαφοράν, ὁ τῶν ὅλων θεός· ἀλλ᾽ ἐξουσίαν

[illegible]

μόνην καὶ φιλοθεΐαν ζητεῖ. κἂν ἐρημῖται
τινὲς ἐμμένωσι. πολλῶν τοῦτον προτίθησι πρεσ-
Νείλου βυτέρων:— θρὶξ λελευκασμένη. τὴν
ἐν βάθει τῆς ψυχῆς ἀποδημίαν νοῦ καὶ
διαμαρτύρεται:— ::: — ::: — ::: — :: —*

ξ̄ο Περὶ γερόντων ἀνοίᾳ καὶ κακίᾳ βιούντων:— *

προφήτου Ἡσαΐου Ὁ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν, καὶ
ἔσται κατάρατος: σχόλιον: διὰ τὸ ἀμεταμόητον
καὶ ἀδιόρθωτον δηλονότι:—

Βασι Οἱ δὲ τιμὰς ἐν νεότητι πρὸς τὰ τῆς σαρ-
κὸς πάθη καταμισθώσαντες. καὶ μέχρι
πολιᾶς αὐτῆς διὰ συνήθειαν κακῶν, ταῖς
ἁμαρτίαις παραμείναντες:—

Φίλωνος Ἔστι που σὺν ἔτεσι νέων. καὶ γερόντων ἀσυνεσία.
χρόνος γὰρ οὐ διδάσκει φρόνησιν. ἀλλὰ
φύσις καὶ ὀρθὴ δίαιτα:— ::: — ::: — ::: —*

ο̄α Περὶ νέων. συνετῶν:—

ἀπο Νεώτεροι. ὑποτάγητε πρεσβυτέροις:—
Βασι Οὐ γὰρ ὁ τὴν ἡλικίαν νέος. ἀλλ' ὁ τὴν ψυχὴν
Πλούτ ἀτελής. νεώτερος λέγεται:— Ὁ Πλούταρχος
παρεκελεύετο τοῖς νέοις. τρία ταῦτα ἔχειν.
ἐπὶ μὲν τῆς γνώμης. σωφροσύνην. ἐπὶ
δὲ τῆς γλώσσης σιγήν. ἐπὶ δὲ τοῦ προσώ-
που αἰδῶ:— ::: — ::: — ::: — ::: —*

ο̄β Περὶ νέων ἀσυνέτων:—

Βασι Εὐρίπιστος ἡ νεότης καὶ πρὸς κακίαν ὀξύρροπος:—
τί σαρκὸς ἐπανθούσης καὶ νεότητος περιφερο-
μένης ἀφρονέστερον:— νεότης ἐστὶ, κρᾶ

σμα χρόνου :— πρὸς θυμὸν καὶ πρὸς ἐπιθυμίας ἀήττητος μᾶλλον ἐστὶ νόμιμος :—

ἡ πονιὰ τότε ἐστὶν ἀνδόσιμος, ὅταν τὰ τῆς πονιᾶς πράττηι· ὅταν δὲ νέος ὑβρίζηι, τῶν νέων καταφρονητὸς ἔσται :— νεότης πονηρὰ οὐκ ἐλευθεροῦσα, πρὸς γῆρας κακοπραγεῖ :— ⁝ — ⁝ — ⁝ — ⁝ — ⁝ — ※

ογ' περὶ δεσποτῶν χρηστῶν :—

σολ Δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ :—

ἀπο Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε· εἰδότες ὅτι καὶ ὑμεῖς κν̄ ἔχετε ἐν οὐρανοῖς :—

θεολ ἤπιος μὲν ἴσθι χρηστός, εἰ τοῦτο θέμενος· πλεῖον δὲ τοῖς ἄλλοις :—

οδ' περὶ δεσποτῶν μοχθηρῶν :—

δευτε Ἐάν τις πατάξηι τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδωι καὶ ἀποθάνηι ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκηι ἐκδικηθήσεται· ἐὰν δὲ διαβιώσηι ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται· τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστιν :—

σοφο σιραχ Ὁ μὴ συμπεριφερόμενος τῶι ἑαυτοῦ οἴκωι, κληρονομήσει ἀνέμους :— μὴ ἴσθι ὡς λέων ἐν τῆι οἰκίαι σου· καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου· ϛ ταπεινῶν τοὺς ὑποχειρίους σου :— ἐὰν κακώσεις τὸν παῖδά σου ϛ ἐπάρας ἀποδρᾶι, ἐν ποίαι ὁδῶι ζητήσεις αὐτόν :— ⁝ — ⁝ — ⁝ — ⁝ — ※

οε' περὶ δούλων χρηστῶν :—

σολο Θυμὸν ἀνδρὸς, πραΰνει θεράπων φρόνιμος :—

Οἰκέτης νοήμων, κρατήσει δεσποτῶν ἀφρόνων:—
Οἰκέτου σοφοῦ, εὔοδοι ἔσονται πράξεις· καὶ
κατευθυνθήσονται αἱ ὁδοὶ αὐτοῦ:—
Οἰκέτης σοφὸς, ἡδὺς δεσπότῃ:— Οἰκέται
σοφοὶ, ἰδίοις δεσπόταις δουλεύσουσιν:—
Γλυκὺς ὁ ὕπνος τοῦ δούλου, εἴτε ὀλίγον εἴτε
ἀπ̊ καὶ πολὺ φάγεται:— Οἱ δοῦλοι, ὑπακού-
ετε τοῖς κατὰ σάρκα κυρίοις· μὴ ἐν ὀφθαλ-
μοδουλείαις ὡς ἀνθρωπάρεσκοι· ἀλλ' ἐν ἁ-
πλότητι καρδίας· φοβούμενοι τὸν κύριον· καὶ
ὃ ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε ὡς τῷ
κυρίῳ καὶ οὐκ ἀνθρώποις· εἰδότες ὅτι παρὰ κυρίου λή-
ψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας ὑμῶν:—
Οὐ συμφέρει ἄφρονι τρυφή· καὶ ἐὰν οἰκέ-
της ἄρξηται, μεθ' ὕβρεως δυναστεύει:—
Μάστιξ ἵππῳ καὶ κέντρον ὄνῳ· ῥάβδος
σιραχ δὲ, οἰκέτῃ ἄφρονι:— Χορτάσματα καὶ
ῥάβδος καὶ φορτία ὄνῳ· ἄρτος δὲ καὶ παι-
δεία καὶ ἔργον οἰκέτῃ:— Ζυγὸς καὶ ἱ-
μὰς, τράχηλον κάμψουσιν· καὶ οἰκέτῃ
κακούργῳ, στρέβλαι καὶ βάσανοι:— ·· — ·· ⁎

## Περὶ δανείσεως τῶν χρημάτων:—

οϛ
σολο Δίκαιος, οἰκτείρει καὶ κιχρᾷ:— Δανει-
στοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων,
ἐπισκοπὴν ἀμφοτέρων ποιεῖται κύριος:—
ματθ Τῷ αἰτοῦντί σε, δίδου· καὶ τὸν θέλοντα ἀπὸ
σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς:—
Ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν,

ποία ὑμῖν χάρις ἐστίν: — Εἰ κοῦ μὰ τὸν
Χ(ριστὸ)ν ἐξαμφίμον διηνεκῶς, πολλῶν αὐτὸν
κατάστησον χρεώστην· οὐδὲ γὰρ οὕτω χαί-
ρει δανειστὴς ὀφειλέτας ἔχων, ὡς Χ(ριστὸ)ς εὐ-
φραίνεται δανειστὰς ἔχων· καὶ οἷς μὲν μὴ
δεῖν ὀφείλει, τούτους καὶ ἀποφεύγει· οἷς δὲ ὀ-
φείλει, τούτοις καὶ ἐπιτρέχει: — … — … *

οζ

## π(ερὶ) δανειστῶν καὶ χρεωστῶν: —

Ἰὼβ — πλοῦτος ἀδίκως συναγόμενος, ἐξεμεθήσεται: —
σολο(μῶντος) — ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομί-
ὡσηε. — ας, ἐλάσσων γίνεται: — δόσις ἄφρο-
νος, οὐ λυσιτελήσει σοι μαλλον τί αἰτ· ἀρ' ὀ-
φθαλμοὶ αὐτοῦ, ἀνθ' ἑνός. εἰς τὸ λαμβάνειν
πολλοί· ὀλίγα δώσει, καὶ πολλὰ ὀνει-
βασι — δίσει: — Τόκος οἶμαι, διὰ τὴν
πολυγονίαν τοῦ κακοῦ προσηγόρευται·
διὰ τὰς ὠδῖνας καὶ λύπας, ἃς ἐμποι-
εῖν ταῖς ψυχαῖς τῶν δανεισαμέ-
νων πέφυκεν: — Ὡς γὰρ ἡ
ὠδὶς τῇ τικτούσῃ, οὕτως ἡ προθε-
σμία τῷ ὑπόχρεῳ παρίσταται: —
Τὰς ἐχίδνας φασί, τὰς γαστέρας τῆς
μητρὸς διεσθιούσας τίκτεσθαι· καὶ οἱ
τόκοι τοὺς οἴκους τῶν ὀφειλόντων
ἐκφαγόντες, ἀπογεννῶνται: —
Κύνες λαμβάνοντες ἡμεροῦνται· ὁ δὲ δα-
νειστὴς λαμβάνων προσερεθίζεται· οὐ
γὰρ παύεται ὑλακτῶν, ἀλλὰ τὸ πλέον ἐπιζητεῖ: —

θεολ(όγου) ἐὰν χρεοφειλέτην μάλιστα προσπίπτον-
τα, πᾶσαν συγγραφὴν ἄδικον διάσπασον·
μνήσθητι τῶν μυρίων ταλάντων. ὧν
σοι Χριστὸς ἐδωρήσατο· καὶ μὴ γένῃ πράκτωρ
πικρὸς. τοῦ ἐλάττονος χρέους :— ,, — ,, —×

ο̄η̄ περὶ δανειζομένων. καὶ ὅτι χρὴ
εὐγνώμονα εἶναι τοῖς κυριοχρέοις :—

Σοφίας σολομῶ(ντος) φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις :— χάριν
ἀν(θρώπ)ου, ὡς κόρην ὀφθαλμοῦ συντήρησον :—
σιράχ ὁ ἀνταποδιδοὺς χάριτας, μέμνηται εἰς τὰ
μετὰ ταῦτα· καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ, εὑ-
ρήσει στήριγμα :— τοῖς εὐεργέταις.
Βασι(λείου) πᾶσαν εὔνοιαν ἐκ προθύμου ὀφείλομεν :—
θεολ(όγου) ἀποδώσομεν σὺν τόκῳ τὸ χρέος. ἂν ἄρα το-
σοῦτον εὐποροῦντες φανῶμεν :—
φίλωνος οὐδὲν οὕτως ἐφολκὸν εἰς εὔνοιαν. ὡς ἡ τῶν
εὐεργετημάτων εὐκαιρία :— ,,, — ,, — ,—×

ο̄θ̄ π(ερὶ) δανειζομένων καὶ ἀγνω-
μονούντων :—

Δαυΐδ δανείζεται ὁ ἁμαρτωλὸς. καὶ οὐκ ἀποτίσει :—
σιράχ μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν.
καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη :—
ἀχρήστους εὐνοίας. ἡ καταφρόνησις ἐρισαμένων :—
ὁ τόκοις ἑαυτὸν ὑποθέμενος καταστήσας. ὧν τὴν
κτῆσιν οὐχ ἐπορίσατο. δουλείαν αὐθαίρετον
ἐδέξατο δι' αἰῶνος :— ,,, — ,,, — ,, —×

π̄ π(ερὶ) ἐκκωθουμένων ἢ τοῖς κυρίοις ἐργατῶν
χρηστῶν. καὶ μισθίων χρηστῶν :—

λευιτικόν οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθίου πα-
ρὰ σοὶ, ἕως πρωΐ :— αὐθημερὸν ἀπο-
δευτερονόμ(ιον) δώσεις τὸν μισθὸν, τῷ μισθωτῷ σου· οὐ-
κ ἐπιδύσεται ὁ ἥλιος ἐπ' αὐτῷ· ὅτι πένης
ἐστὶ, καὶ ἐν αὐτῷ ἔχει τὴν ἐλπίδα :—
σιρὰχ μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀλη-
θείᾳ· μηδὲ μίσθιον διδόντα τὴν ψυχὴν αὐτοῦ :—
ἀπ(όστολος) τῷ ἐργαζομένῳ· ὁ μισθὸς οὐ λογίζεται κατὰ
χάριν· ἀλλὰ κατὰ ὀφείλημα :— ,, — ,, —×

πα περὶ ἐκμισθουμένων· ἤτοι κυριευόν-
των πονηρῶν :—

λευιτικοῦ μὴ καταβοήσεται κατὰ σοῦ ὁ μίσθιος πρὸς
κ(ύριο)ν· καὶ ἔσται ἐν σοὶ ἁμαρτία :— ἐπικα-
τάρατος ὁ ἀφαιρῶν μισθὸν μισθωτοῦ· καὶ
ἐρεῖ πᾶς ὁ λαὸς γένοιτο :—
ἰώβ· ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν, ἄσιτοι καὶ
σιράχ ἀμισθὶ εἰργάσαντο :— ὁ ἀποστερῶν
μισθὸν μισθωτοῦ, ὥσπερ ὁ ἐκχέων αἷμα :—
ἀπ(όστολος) ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν :—
οὐ φιμώσεις βοῦν ἀλοῶντα· καὶ ἄξιος
ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ :— ,,, — ,, —×

πβ περὶ καλῶν καὶ ἀγαθῶν ἀνδρῶν :—

ἀριθμῶν· ἔγνω ὁ θ(εὸ)ς τοὺς ὄντας αὐτοῦ· καὶ τοὺς ἁγίους προ-
ἀλλ(ο) σηγάγετο πρὸς ἑαυτόν :— γενεὰ εὐθέ-
ων εὐλογηθήσεται :— φωνὴ ἀγαλλιάσεως
καὶ σωτηρίας· ἐν σκηναῖς δικαίων :—
σολ(ομῶν) οὐ λιμοκτονήσει κ(ύριο)ς· ψυχὴν δικαίαν :—
στόμα δικαίου· ἀποστάζει χάριτας :—

Δικαιοσύνη ὀρθῶν ἀνδρῶν, ὀρθοτομεῖ ὁδούς: —

Εὐφροσύνη δικαίων, ποιεῖν κρίματα: —

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι· καὶ ἐν κ̅ῳ̅ ὁ μισθὸς αὐτῶν· καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστου· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας· καὶ τὸ διάδημα τοῦ κάλλους, ἐκ χειρὸς κ̅υ̅: — Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται: —

ὡσηὲ προφήτ

Εὐθεῖαι αἱ ὁδοὶ κ̅υ̅· καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς: —

σιράχ

Ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς· τοῖς δὲ ἁμαρτωλοῖς κακά: —

ἀπο

Ὁ ἀγαθὸς ἄνθρωπος· ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ, προφέρει ἀγαθά: — Δικαίῳ, νόμος οὐ κεῖται: —

Βασι θεο

Ὁ ἀγαθός, ἀγαθῶν ἐστι παρεκτικός: —

Ῥάβδος δικαίου κρεῖσσον, ἢ τιμὴ κακοῦ: — τοῦ ἀγαθοῦ, καὶ τὸ τραχὺ προσηνὲς διὰ τὴν ὠφέλειαν· τοῦ δὲ πονηροῦ καὶ τὸ χρηστὸν ὕποπτον, διὰ τὸ κακόηθες: — Οὐδεὶς ἀγαθός, εἰ μὴ μόνος ὁ θ̅ς̅· τὸ ἄκρως ἀγαθόν, φη μόνου θ̅ῦ: — Τὸν πνικὸν, καὶ ἀπόνηρον εἶναι δεῖ· ἁπλοῦν καὶ ἄδολον· καθάπερ ὁ χ̅ς̅ φησιν· ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία: — Ὁ τῇ φύσει ἀγαθός, καὶ ἀγαθῶν παντὸς παρεκτικὸς γίνεται: —

Ἀνδρὸς ἀγαθοῦ παρουσία, τοὺς πέλας ὀνίνησιν: —

Κυρίλλ φίλω

Ἴδιον παντὸς ἀγαθοῦ, τὸ ὠφελεῖν: — Φιλάνθρωπός ἐστιν, ὁ ἀστεῖος καὶ ἐμμελὴς καὶ [illegible]

μων. ὁ μηδὲ μιμνήσκει κακῶν τὸ παράπαν.
ἀλλὰ νικῶν τοὺς ἐχθροὺς ἀξιῶν. ἐν τῷ
ποιεῖν εὖ μᾶλλον ἢ ἐκπράσσειν:— τοῖς ἀγα-
θοῖς ἀγαθὰς ὑπέχειν γνώμας ἔοικεν ὁ θεός.
ἀγαθοὺς ἀφθονοῦντες. ἀφθονηθήσονται:—

πι περὶ κακῶν καὶ μοχθηρῶν ἀνδρῶν: *

βασιλειῶν α΄ ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια:— μὴ
δὲ πεποιθέτω πονηρὸς ὤν, ἀθῶος ἔσεσθαι:—
ἰωβ΄ γλυκανθῇ ἐν τῷ στόματι σου κακία:—
φαῦλοι, ἐν θανάτῳ ἐξαίσιοι:—
δαδ πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ:— πρό-
σωπον κυρίου ἐπὶ ποιοῦντας κακά:— ἡπα-
λύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον:—
μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία:— ζητή-
σο σουσί με κακοί, καὶ οὐχ εὑρήσουσιν· ἐμί-
σησαν γὰρ σοφίαν:— ἡ καταστροφὴ
τῶν παρανόμων κακή:— μὴ ἔλεγχε κα-
κούς, ἵνα μὴ μισήσωσί σε:— μὴ ἐν ἑαυτῷ σο-
φὸς γένῃ:— οὐκ ἔστι ζητεῖν ἔλεον καὶ
κρίσιν τὰ ἐκ τῶν κακῶν:— ἔκβαλε
ἐκ συνεδρίου λοιμόν, καὶ συνεξελεύσεται
νεῖκος αὐτῷ:— ὁ κακός, οὐκ ἀτι-
ἠσαΐου μώρητος ἔσται:— ἐκ στόματος ἀφε-
πι ων. ἐξελεύσεται:— σοφοί εἰσι τοῦ κακο-
ποιῆσαι· τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἔγνωσαν:—
ἱερε Εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις:
ὑμεῖς κακῶν. κατὰ σπουδὴν ἐλίζει:— ὁδὸς
ἁμαρτωλῶν, ὡμαλισμένη ἀπὸ λίθων· καὶ ἐπ' ἐσχάτου

του αὐτῆς. ὄλεθρος ᾅδου:— τὸν ἁμαρ
τάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ, τίς
Βασι δικαιώσει:— ἐν ἁμίλλαις πονηρίας.
ἀθλιώτερος ὁ νικήσας. διότι ἀποφέρεται
Θεο τὸ πλεῖον ἔχων τῆς ἁμαρτ:— Οὐδέν ἐστιν.
ὃ τοὺς πονηροὺς βελτίους ποιήσειεν:—
εὐζήλωτον μέν τοι καὶ πρόχειρον πρᾶγμα ἡ
μοχθηρία· καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ
γενέσθαι κακόν:— δυσκίνητον μὲν τὸ ἀγα
θὸν τῇ ἀνθρωπίνῃ φύσει. ὥσπερ καὶ τὸ πῦρ ὕλῃ
τῇ ὑγροτέρᾳ· ἕτοιμοι δὲ πρὸς τὴν τοῦ
κακοῦ ἐργασίαν οἱ πλεῖστοι, καὶ ἐπιτήδειοι:—
ψυχαῖς κεκμηκυίαις, οὐδὲν τῶν καλῶν ἀξιόπιστον:—
πλοῦτος γνώσεως σοφίας, προστίθησιν
ἡμῖν φίλους πολλούς· ὁ δὲ φαῦλος, καὶ ἀπὸ
τοῦ δοθέντος αὐτῷ ἐκ παιδὸς χωρίζεται:—

πλ̃ $\overset{ε}{π}$ Γυναικὸς ἀνδρείας καὶ σώ
ζ̈ φρονος, καὶ συνετῆς:—

Κριτῶν. ἤγγισεν Ἀβιμέλεχ, ἕως τῆς πύλης τοῦ πύρ
γου ἐμπυρίσαι αὐτὴν ἐν πυρί. καὶ ἔρριψε
γυνὴ μία κλάσμα μύλου ἐπὶ τὴν κεφα
λὴν Ἀβιμέλεχ. καὶ ἐβόησε τάχυ πρὸς
τὸ παιδάριον τὸ αἶρον τὰ σκεύη αὐτοῦ. καὶ
εἶπεν αὐτῷ· σπάσον τὴν ῥομφαίαν σου καὶ
θανάτωσόν με. μήποτε εἴπωσιν ὅτι γυνὴ
ἀπέκτανεν αὐτόν. καὶ ἐξεκέντησεν αὐτὸν
τὸ παιδάριον αὐτοῦ καὶ ἀπέθανεν:—
Σολομ γυνὴ ἀνδρεία, στέφανος τῷ ἀνδρὶ αὐτῆς:—

ὃς εὗρε γυναῖκα ἀγαθήν, εὗρε χάριτας.
ἔλαβε δὲ παρὰ κυ(ρίου) ἱλαρότητα:— σο-
φαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους. ἡ δὲ
ἄφρων, κατέσκαψε ταῖς χερσὶν αὐτῆς:—
γυναῖκα ἀνδρείαν τίς εὑρήσει:— γυναικὸς
σιρά(χ) ἀγαθῆς, μακάριος ὁ ἀνήρ:— γυνὴ ἀγα-
θή, μερὶς ἀγαθή· καὶ ἐν μερίδι φοβουμέ-
θεο(δ) νων κύριον δοθήσεται:— γυναικὸς ἀνήρ,
χρῆμα οὐδὲν μηὶ ζευγ κάλλιον ἐσθλῆς· ὡς
σαθροῦ δὲ χεῖρον τῆς ἐναντίας:—
φιλω ἀσθενέστεραί πως εἰσὶν αἱ γνῶμαι τῶν γυ-
ναικῶν· ἔξω τῶν αἰσθητῶν, μηδὲν ἰσχύ-
ουσαι μόνον τὸν κατανοεῖν:—
πρωτα- Γυναῖκα σώφρονα ζήτει. καὶ μὴ εὔμορ-
γόρα. φον· τὸ μὲν γὰρ θησαυρὸς ἀνέκλειπτος.
τὸ δὲ ὑπόθεσις γνώμης:— ∴ — ∴ — · —×

## πε ι πε(ρὶ) Γυναικῶν πονηρῶν καὶ μοιχα-λίδ(ων) καὶ πάσης κακίας πεπληρωμέ(νων):—

σο μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ
ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης·
ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστε-
ρον μέντοι. πικρότερον χολῆς εὑρήσεις.
καὶ ἠκονημένον μᾶλλον. μαχαίρας διστόμου:—
γυνή, τιμίας ψυχὰς ἀνδρῶν ἀγρεύει:—
ὁ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής:—
κρεῖσσον οἰκεῖν ἐν ἐρήμῳ, ἢ μετὰ γυναικὸς
μαχίμου καὶ γλωσσώδους καὶ ὀργίλου:—
μαλα(χ) ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι αὐ-
τῇ τί ποιῶν:—

Οἶνος καὶ γυναῖκες, ἀποστήσουσι συνετούς:—

σιράχ Συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδόκησαι. ἢ συνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς:— Μικρὰ πᾶσα κακία. πρὸς κακίαν γυναικός· κλῆρος ἁμαρτωλοῦ ἐπιπέσοι ἐπ' αὐτήν:— Κρεῖσσον πονηρία ἀνδρός, ἢ ἀγαθοποιὸς γυνή:—

Ἐπὶ γυναικὶ πονηρᾷ. καλὸν σφραγίς:—

Βασι Αἱ πονηραὶ τῶν γυναικῶν διαθέσεις. τὰς ἀσθενεῖς ψυχὰς τῶν συνοικούντων καταμαλακίζουσιν:— Δεινὸν δράκοντες καὶ κακοῦργον ἀσπίδες. δεινοτέρα γυναικὸς δεινότης ἐν θηρίοις:—

Γυνὴ πονηρά, οὐδέποτε ἡμεροῦται· ἀλλὰ χειριζομένη μαίνεται. καὶ κολακευομένη ἐπαίρεται:— Σίδηρον ἕψειν, ἢ νουθετεῖν γυναῖκα:—

Γινωσκέτω ὁ ἔχων γυναῖκα πονηράν. ὅτι ἤδη τοὺς μισθοὺς αὐτοῦ τῶν ἀνομιῶν ἐκομίσατο:— Οὐδὲν ἐν κόσμῳ θηρίον. ἐφάμιλλον γυναικὸς πονηρᾶς:—

Δεινὸν πένητι χροτέραν γαμεῖν γυναῖκα. δεινὸν εὐπορωτέραν· τὸ μὲν γὰρ εἰς τὴν οὐσίαν εὐμαρίζειν· τὸ δὲ εἰς αὐθεντίαν καὶ ἐλευθερίαν τὸν ἄνδρα:—

φίλωνος· Φίλαυτον γυνή. καὶ ζηλότυπον οὐ μετρίως· καὶ δεινὸν παραλῦσαι ἤθη ἀνδρός:—

Διογε· Διογένης κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη· ἀσπὶς παρ' ἐχίδνης. φάρ

ἀριστίπ μᾶλλον δαπανεῖ ζῶσα:— Ἀρίστιππος ὁ
που Κυρηναῖος φιλόσοφος· ἐρωτηθεὶς ὑπό
τινος εἰ συμφέρει αὐτῷ γῆμαι. εἶπεν·
οὔ· εἰ μὲν γὰρ καλὴν, κοινὴν ἕξεις· εἰ
δὲ φαύλην, ποινήν:— Δημοκρί
τῳ ἔφη τις· διατί μέγας ὢν, μικρὰν
ἔγημας γυναῖκα· κἀκεῖνος εἶπεν· τοῦ
κακοῦ ἐκλογὴν ποιούμενος. τὸ ἐλάχι
πρωτα στον ἐξελεξάμην:— Πρωταγόρας ἐρω
γόρα· τηθεὶς· διὰ τίνα αἰτίαν ἐχθρῷ τὴν θυ
γατέρα δέδωκας πρὸς γάμον. εἶπεν·
σωκρά οὐκ εἶχον γὰρ αὐτῷ κακὸν, δοῦναι χεῖρον:—
τους· Σωκράτης ἔφη· τριῶν κακῶν πεπείραμαι·
γραμματικῆς· πενίας. καὶ ὀυρομένης
γυναικός· τῶν δύο ἐξέφυγον· ὀυρομέ
νης γυναικός. ἐκφυγεῖν οὐκ ἠδυνήθην:—
κάτω Πάντες ἄνθρωποι. τῶν γυναικῶν ἄρχουσιν.
νος· ἡμεῖς δὲ, ἀνθρώπων ἁπάντων· ἡμῶν δὲ.
λευκίπ αἱ γυναῖκες:— Πονηρὸν μὲν γὰρ
πης· γυνή. κἂν εὔμορφος ᾖ· ὅταν δὲ καὶ ἀμορ
φίαν δυστυχῇ. τὸ κακὸν διπλοῦν:—

πϛ' Περὶ συναγωγῆς χρηστῶν ἀνδρῶν·
καὶ ὅτι χρὴ ἀρίστοις ἀνδράσι κολ
λᾶσθαι. καὶ μὴ πονηροῖς:—

σολ Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται:—
ἐὰν ἴδῃς συνετὸν, ὄρθριζε πρὸς αὐτόν· καὶ
καὶ βαθμοὺς θυρῶν αὐτοῦ, ἐκτριβέτω ὁ
πούς σου:— Μὴ παρίδῃς διήγημα σοφῶν.

Καὶ ἐν ταῖς παροιμίαις αὐτῶν. ἀναστρέφου:—
λόγον σοφὸν. παρ' ἀμαθοῦς σοῦ νόει:— ἄνδρας
δίκαιοι. ἔπαινος σαν σπουδαῖοί σου:—
μετὰ ἀνδρὸς ἐθνικοῦ, ἐνδέρχιζε:—
πετεινὰ πρὸς τὰ ὅμοια καταλύει:—
Κατὰ τὸν κριτὴν τοῦ λαοῦ, οὕτως καὶ οἱ λει-
τουργοὶ αὐτοῦ· καὶ κατὰ τὸν ἡγούμενον τῆς
πόλεως. πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ:—
Βασι ἐὰν ἴδῃς ἐθνικόν. πλούσιον σώφρονος ἐστὶ μέν:—
Θεο Εἰ τοῖς καλοῖς ἐσοίο νουθετούμενος. οὐκ ἂν
ἐντραπήσῃ τοῖς κακοῖς γενόμενος:—
σοφῶν θύρας ἔκτριβε· πλουσίων δὲ μή:—
μὴ κλεῖε τὰ ὦτα πρὸς παιδείαν καὶ νου-
θεσίαν. ὡς ἀσπὶς πρὸς ἐπάσματα:—
Κρεῖττον δεύτερον ἔχειν μακρόν. ἢ πρῶτα
πόνῳ χειρῶν:— φιλεῖ πρὸς τὰς ἀναστρο-
φιλ^ω^ φάς. τὰ ἤθη ῥυθμίζεσθαι:— Καλὸν ἀεὶ
τὸ κρεῖττον ἀκολουθεῖν. διὰ βελτίονος
ἐλπίδα:— ::: — ::: — ::: — :: ×

π̃ζ π^ε^ Συνδιαγωγῆς κακῶν ἀνδρῶν.
καὶ ὅτι χρὴ φεύγειν τὰς τῶν μοχθη-
ρῶν ἑταιρίας, ὡς ὄλεθρον προξενούσας:—

Δευτερ^ο^ ἀφανίσατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν:—
σολ^μ^ο ἄφρων ἑαυτῷ πεποιθώς, μὴ γίνου ἀνόμοιος:—
ὁ συμπεριφερόμενος ἄφροσι, γνωσθήσεται:—
μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει. μηδὲ συναυλί-
ζου φίλοις ὀργίλοις· μήποτε μάθῃς τῶν
ὁδῶν αὐτοῦ. καὶ λάβῃς βρόχους τῇ σῇ ψυχῇ:—

σιραχ μὴ πρόσωσαι ζε ἀπαιδεύτοις. ἵνα μὴ ἀτιμάζωνται οἱ γονεῖς σου:— φεῦγε τὰς μιμήσεις τῶν καταγνωσμένων:—

βασι Βλαβεραὶ αἱ πρὸς τοὺς κακοὺς συνουσίαι. ἔστι δὴ νόμος οὗτος φιλίας. δι' ὁμοιότητος πεφυκέναι τοῖς συναπτομένοις ἐγγίνεσθαι:—

θεο ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν. κακοῖς δ' ὁμιλῶν. καὶ κακὸς πάντως ἔσῃ:—

φεῦγε τοὺς μαλακοὺς καὶ ἐκλύτους ἄνδρας. καὶ πονηροὺς καὶ ἡταιρηκότας:—

ἀλθου δεῖ μὴ μόνον ἀπέχεσθαι τῶν κακῶν. ἀλλὰ γὰρ καὶ τοὺς τὰ τοιαῦτα πράσσοντας ἀποστρέφεσθαι:—

νει πολλάκις ἄνδρας ἀγαθοὶ κακοῖς προσγενόμενοι. πολλῷ θᾶττον κακίας μετέλαβον. ἢ μετέδοσαν ἀρετῆς:—

φίλω Βλαβεραὶ τῶν ἀνοήτων αἱ συνουσίαι. καὶ ἀκουσίως πολλάκις τυχὴ, τῆς ἐκείνων φρενομανείας ἀπομάττει τὸ εἴδωλον:—

Οὐ ποιεῖ ἀγρὸς φαύλους. οὐδὲ ἄστυ σπουδαίους. ἀλλ' ἡ μετὰ τῶν τοιῶνδε συνδιατριβή:— ~ ✗

πλου Πε τιμῶν τοὺς ἀρίστους καὶ ἀξίους ἄνδρας τιμώντων:—

✗

δαδ ἐμοὶ δὲ. λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ θεός. λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν:—

σιραχ εὖ ποίησον εὐσεβεῖ, καὶ εὑρήσεις ἀνταπόδομα. καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τοῦ ὑψίστου:—

εὐαν Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται:—

θεο πρέπει τῶμ εὐεργετῶμ. τὸ ἐπαιμεῖσθαι τοῖς
καλοῖς. ζήμου γὰρ ὁ ἔπαιμος πρόξεμος.
ζῆλος δὲ ἀρετῆς :— πᾶσι τὸ καλὸν ὁμοί
☧ ως ἀδόκιμον :— οἱ τοῖς ἀγαθοῖς ἐ
παιμοῦντες, μερῖται τῶμ ἐκείμοις ἀ
πεκειμένωμ ἀθφάμωμ εἰσιμ :—
κλημεν οὐκ ἐστι μέγα, τὸ φροντίζειν ἀνδρὸς δι
καίου. χάριμ γὰρ λαμμάνει ὁ καταξιού
μενος διακονεῖν αὐτῷ :— ⁝ — ⁝ —
π ς θ πε τῶν τοὺς ἀπόνους καὶ ἀρί
στους ἄνδρας ἀτιμαζόντ :—
ιωβ δίκαιοι καταφρονοῦνται. παραδίδονται
γὰρ εἰς χεῖρας ἀσεβῶμ :— δίκαιος
ἀνὴρ ἄμεμπτος. ἐγενήθη εἰς χλεύασμα :—
δαδ ἄλλαλα γενηθήτω τὼ χλευασμῷ :—
κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον. καὶ
σολ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντ :— τοὺς σο
φοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν :—
ἄνδρες αἱμάτων μέτοχοι. μισήσουσιν ὅ
σιον :— βδέλυγμα ἁμαρτωλῷ,
ἀπ θεοσέβεια :— πάντες οἱ θέλον
τες εὐσεβῶς ζῆν, ἐν Χῷ Ἰῦ διωχθή
σονται. πονηροὶ δὲ ἄνοι καὶ γόητες :—
βασι παραδίδονται πολλάκις καὶ δίκαιοι. εἰς
χεῖρας ἀσεβῶμ. οὐχ ἵνα ἐκεῖνοι τιμη
θῶσιν. ἀλλ' ἵνα οὗτοι δοκιμασθῶσι διὰ
θεο τῆς περιφρονήσεως :— παραδίδονται
πολλάκις καὶ δίκαιοι. εἰς χεῖρας ἁμαρτωλ

οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν. ἀλλ' ἵνα οὗτοι
☧ δοκιμασθῶσιν :— Οὐ δυνατὸν τοὺς ἐ-
ναρδηιόντας. παρὰ πάντων ἀκούειν
καλῶς :— ::: — ::: — ::: — ::: ·✕

ϥ̃ Περὶ μισοπονηρίας. καὶ τῶν τὰ
ἄτοπα ἀποστρεφομένων :—

Δα̅δ Οἱ ἀγαπῶντες τὸν Κύριον. μισεῖτε πονηρά :—
Σολ Φόβος Κυρίου μισεῖ ἀδικίαν. ὕβριν τε καὶ ὑ-
περηφανίαν καὶ ὁδοὺς πονηρῶν :—
Δίκαιος, οὐ προσέχει χείλεσι ψευδέσιν :—
Βασι Δεῖ ζομάμε τὸ μισοπόνηρον. ἀποστρεφό-
μενον μὲν τὰς ἁμαρτίας. ὑπερτιμῶντα
δὲ τὰς ἀρετάς. ἐὰν γὰρ ἐφ' ἑκάστης
πράξεως νικᾶν ποιήσῃς τὰ βελτίονα.
μακάριος ἔσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων :—
Φίλων Ὠμῆς δίχα τύχης, οὐ καθαιρεῖται
κακία :— ::: — ::: — ::: — ::: ·✕

ϥα Περὶ χαιρεκάκων καὶ ἀποδε-
χομένων τὰ πονηρά :—

Δα̅δ Συλλαμβάνονται ἐν διαβουλίοις. οἷς
διαλογίζονται :— Εἰ ἐθεώρεις κλε :—
Σολ Ὁ εἰπὼν τὸν ἀσεβῆ δίκαιός ἐστιν. ἐπικα-
τάρατος λαοῖς ἔσται. καὶ μισητὸς ἔθνεσι :—
Ἐκζητοῦντα κακά. καταλήψεται αὐτόν :—
Ὁ ἐπιχαίρων ἀπολλυμένοις. οὐκ ἀθῳω-
Ἀμὼς προφῆ θήσεται :— Μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά
μου. ὅτι πέπτωκα καὶ ἀναστήσομαι. ὀργὴν

κυρίου ὑποίσω. ὅτι ἥμαρτον αὐτῷ. ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου. καὶ ἐξάξει με εἰς φῶς. καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ:—

Ἡσαΐου Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλόν. καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ σκότος φῶς. καὶ τὸ φῶς σκότος· οἱ τιθέντες τὸ πικρὸν γλυκύ. καὶ τὸ γλυκὺ πικρόν:—

Σιράχ· Οὐ καθῆκον δοξάσαι ἄνδρα ἁμαρτωλόν:—

ἀνὴρ ἁμαρτωλὸς. ταράξει φίλους. καὶ ἀνὰ μέσον εἰρηνευόντων. ἐμβαλεῖ διαβολήν:—

Τοῖς γνωρίζουσι μὲν ἑαυτοὺς τῇ κακίᾳ. συγχωρεῖ τὰ κακά:— τοῦ γὰρ ἁμαρτάνειν· τὸ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας. πολὺ μεῖζον εἰς κολάσεως λόγον· ὁ γὰρ ἐπαινῶν πονηρίαν. τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν:— οὐχ οἱ τὰ φαῦλα πράσσοντες μόνον· ἀλλὰ καὶ οἱ τούτοις ἐγκωμιάζοντες, τῆς αὐτῆς ἢ καὶ χαλεπωτέρας ἐκείνοις. κοινωνήσουσι κολάσεως:—

Φίλωνος Ἐπιχαιρεκακία. ἀλλότριον σοφῶν:—

— ··· — ··· — ··· — ··· — ··· — ·×

ϟβ Περὶ πολιτῶν ἀγαθῶν:—

Σολομῶντος ἐν εὐλογίαις δικαίων. ὑψωθήσεται πόλις:— ἐπαύλεις δικαίων. εὐλογοῦνται:— ἀπὸ ἑνὸς συνετοῦ. συνοικισθήσεται πόλις:—

Φίλωνος Ὡς ὅταν τιμᾶται τῶν σπουδαίων. διὰ τὸν ἔμμονον κατοικίαν ἢ πόλιν θαυμάσομεν. τὴν οἰκίαν ἢ τὴν πόλιν ἐκείνην εὐδαιμονίζω:—

εὐδαιμονιάζομεν μὲν καὶ πόλιν καὶ χώραν καὶ οἰκίαν. ὅταν ἔχῃ τινὰ σπουδαῖον· κακοδαιμονιάζομεν δέ, ὅταν ἔρημος ᾖ τοιούτου:—

Ἄνδρες ἀγαθοὶ τροπικώτερον εἰπεῖν, κίονες εἰσί. δι' ὧν μόνων οἷον ὑπερειδόμεναι καθάπερ οἰκίαι μεγάλαι. τὰς πόλεις ἑστᾶσι πολιτείας:— ::: — ::: — ::: — :::—·※

## ϟϛ Περὶ πολιτῶν μοχθηρῶν:—

γενέσεως. Οἱ ἄνθρωποι οἱ ἐν Σοδόμοις, ἁμαρτωλοὶ καὶ πονηροὶ ἐναντίον τοῦ θ(εο)ῦ σφόδρα:—

λευϊτικόν. Οὐ πορεύσῃ δόλιος ἐν τῷ ἔθνει σου:— σο

σολο(μῶντος) ἐν στόματι ἀφρόνων. παγὶς πονηροῖς:—

στόματι ἀσεβῶν. κατεσκάφησαν πόλεις:—

Διεστραμμένη καρδία. τεκταίνεται κακά· ἐν παντὶ καιρῷ ὁ τοιοῦτος. ταραχὰς συνίστησι πόλει· διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ· ὅτι χαίρει ἐπὶ πᾶσιν, οἷς μισεῖ ὁ κ(ύριο)ς· συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς:— μυκτηρίζει πολίτας, ἐνδεὴς φρενῶν· ἀνὴρ δὲ φρόνιμος, ἡσυχίαν ἄγει:— ἁμαρτάνων εἷς, ἀπολέσει ἀγαθωσύνην πολλήν:— ἀφροσύνη ἑνὸς, πολλοῖς κίνδυνον ἐργάζεται:—

πλουτάρχου. Οὐ καλλίμων αἱ πόλεις ἀνδρῶν καὶ ἀνδρείων. ἀλλὰ χρηστῶν καὶ σωφρόνων δέονται:—

— ::: — ::: — ::: — ::: — ::: — ::—

## ϟζ Περὶ μοναχῶν χρηστῶν καὶ ἡγουμένων ἀγαθῶν:—※

παραλειπομένων. Ἰσχύσατε καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν.

ὅτι ἔστι μισθὸς τῆς ἐργασίας ὑμῶν:—

Ἱερεμίου ἀγαθὸν ἀνδρί, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος
αὐτοῦ· καθήσεται κατὰ μόνας καὶ σιωπήσεται:—
ἀγαθὸς κύριος τοῖς ὑπομένουσιν αὐτόν:—

Βασι ὑποταγή ἐστι καρδίας ἀνθρωπίνης πρὸς
τὴν ἐν ὕμνοις πολιτείαν μετάθεσις:—

Ἰγνατίου θεολόγου Καλοὺς μαθητὰς ἐὰν φιλῇς, χάρις σοι οὐκ ἔ-
στι· μᾶλλον τοὺς ἀπειθεστέρους ἐν πραΰτητι
ὑπότασσε:— Οἱ κόσμου χωρίσαν-
τες ἑαυτοὺς καὶ τῷ θεῷ τὸν βίον καθιερώ-
σαντες, οὗτοι μᾶλλον:— τὸ μονάζειν
ἐν τῇ διαθέσει τοῦ τρόπου μᾶλλον, ἢ
τῇ τοῦ σώματος ἀναχωρήσει χαρακτηρίζεται:—

Ἀθανασίου Καλὸν ἡ ἄσκησις, μετὰ συμμετρίας καὶ γνώ-
σεως ἀμυνθεῖσα:— Οἱ μὲν μάρτυρες
πολλάκις καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ἀγωνι-
σάμενοι ἐτελειώθησαν· ἡ δὲ τῶν μοναχῶν
πολιτεία, καθ' ἑκάστην ἡμέραν ἀθλοῦσα
διὰ τὸν Χριστὸν μαρτυρεῖ· οὐ πρὸς αἷμα
καὶ σάρκα παραταττομένη, ἀλλὰ πρὸς
τὰς ἀρχὰς πρὸς τὰς ἐξουσίας πρὸς τοὺς
κοσμοκράτορας τοῦ σκότους· πρὸς τὰ πνευ-
ματικὰ τῆς πονηρίας ἕως ἐσχάτης ἀνα-
πνοῆς τὴν πάλην ἔχουσα καὶ ἀθλεῖ καὶ στε-
φανοῦται. τὴν συμμαχίαν τοῦ θεοῦ ἔχουσα:—

(α) Σεραπίωνος· ἁρμόζει τῷ ἐγκρατεῖ, καὶ τοὺς ὄχλους φεύγειν·
ἵνα τὸν νοῦν ἀπερίσπαστον ἔχῃ, καὶ τὴν διά-
νοιαν ἀτάραχον· πολλὴ γὰρ ἐν τοῖς ὄχλοις

ἡ ταραχή: — ⁘ — ⁘ — ⁘ — ⁘ —

ϙε

## Περὶ μοναχῶν παλιμβόλων καὶ παλινδρομούντων εἰς κακίαν

Δαδ Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιάς, ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν: —

Σολ Ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἴδιον ἔμετον. οὕτως: —

Ἰεζεκιήλ Δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται αὐτόν. ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ· καὶ ἀνομία ἀσεβοῦς οὐ κακώσει αὐτόν. ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστραφῇ ἀπὸ τῆς ἀνομίας αὐτοῦ· Ἕκαστον ἐν ταῖς ὁδοῖς αὐτοῦ. κρινῶ ὑμᾶς οἶκος Ἰσραήλ: —

Μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίας. οὐδὲ γὰρ ἐν μιᾷ ἀθῷος ἔσῃ: —

— ⁘ — ⁘ — ⁘ — ⁘ — ⁘ —

ϙς

## Περὶ φιλεργῶν καὶ σπουδαίων καὶ ὅτι χρὴ ἐργάζεσθαι: —

Γεν Ἐν ἱδρῶτι τοῦ προσώπου σου. φάγῃ τὸν ἄρτον: —

Δαδ Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ: —

Σολ Χεῖρες ἀνδρείων. πλουτίζουσιν: — Ὁ συνάγων ἑαυτῷ μετὰ εὐσεβείας. πληθυνθήσεται: — ἀγαθῶν πόνων. καρπὸς εὐκλεής: —

Σιράχ Ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής. καὶ πᾶν ἀρρώστημα οὐ μή σοι ἀπαντήσει: —

Βασι Τί τῶν ἀγαθῶν ἄκοπον· τίς καθάθλων. τρόπαιον ἔστησεν: —

Ἐὰν ἐκ πόνων ἡ χρεία, ἐξ ἱδρώτων [illegible]: —

Ἐὰν φύγωμεν τῆς σαρκὸς τὰ ἐπίπονα, οὐ

κοτόμενοι τὰ ἀγαθὰ τῶν δικαίων :—

φίλω(νος) αὕτη τρυφὴ ψυχῆ ἀσκητικῆ. ἡ διασομάν τι πικροῦ, τὸ ὑπομεῖν ὑπομανθάνειν :—

Ὁ μὲν τὸν πόνον φεύγων, φεύγει τὰ ἀγαθά. ὁ δὲ τλητικῶς καὶ ἀνδρείως ὑπομένων τὰ δυσκαρτέρητα, ὁδεύει πρὸς μακαριότητα :—

Τὰ πλεῖστα καὶ μάλιστα τῶν ἀγαθῶν ἀσκητικαῖς ἀθλήσεσι καὶ ἱκανοῖς πόνοις εἴωθε περιγίνεσθαι :— ꞉꞉꞉ — ꞉꞉꞉ — ꞉꞉꞉ — ⁎

μζ Περὶ ἐργατῶν καὶ ὀκνηρῶν· καὶ καταφρονούντων καὶ ῥαθυμούντων :—

σολο(μῶντος) πλούτου. ὀκνηροὶ ἐνδεεῖς γίνονται :—

Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός :—

Ὀνειδιζόμενος ὀκνηρὸς οὐκ αἰσχύνεται :—

Ἐν ἀργίαις χειρῶν, στάζει ἡ οἰκία :—

Ἐπιθυμίαι ὀκνηρὸν ἀποκτένουσιν· οὐ γὰρ αἱροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι :—

Προφασίζεται καὶ λέγει ὀκνηρός· λέων ἐν ταῖς ὁδοῖς· ἐν δὲ ταῖς πλατείαις φονευταί :—

Ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ :—

Ὁ δὲ καταφρονῶντ. ἐναπολεῖται :—

σιράχ μὴ ῥέαι μὴ ἀργία τοῦ μνοῦ· ἀρχὴ δὲ τῆς κλοπῆς :—

βασι(λείου) Ἀργία, κακουργίας ἀρχή :—

θεο(δώρου) Πολλὴν κακίαν ἐδίδαξεν ἡ ἀργία :—

Ὅμοιος ἀχρήστα· καὶ νωθρότης ἄπρακτος· καὶ θερμότης ἀπαίδευτος :—

⁎ Οὐδὲν οὕτω ῥᾴδιον ὃ μὴ σφόδρα βαρὺ καὶ ἐπαχθές· ὁ

πολὺς δὲ κενῶν ὁ κόμπος· οὐ γὰρ ἐστὶ τὸν ὅμοιον ϗ
διαφέρειν, ὁμιλίαν ἐκ ὁμονῆ σπουδῆς ϗ
ἡ προθυμία ποιεῖ:— Οἱ μὴ ὡς δεῖ
ποιοῦντες τι, οὐδ᾽ ὅλως αὐτὸ ποιοῦσιν:—

ϙη
Περὶ αἰσθητικοῦ ἀνου:—

σο ἀνὴρ συνετός, θρόνος αἰσθήσεως:— ἐμπε
σεῖται μέριμνα, ἀνδρὶ νοήμονι:—
Καρδία σοφοῦ, νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος:—
σιραχ λόγον σοφὸν ἐὰν ἀκούσῃ ἐπιστήμων, αἰνέ
σει αὐτὸν ϗ ἐπ᾽ αὐτὸν προσθήσει:— ςςς — ςς ✻

ϙθ
Περὶ ἀναισθήτου ἀνων:—

σο ἄφρων μαστιγωθεὶς, οὐκ αἰσθάνεται:— μετὰ
ἄφρονος μὴ πορεύου· ἀναισθήτων γὰρ,
ἐξουθενεῖ σου τὰ πάντα:—
συγκολλῶν ὄστρακον, ὁ διδάσκων μωρόν:—

ρ
Περὶ ὀνόματος χρηστοῦ
καὶ χάριν ἔχοντος:—

σολο αἱρετώτερον ὄνομα καλὸν, ἢ πλοῦτος πολύς.
ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον, χάρις ἀγαθή:—
περιποίησαι χάριν καὶ εὔνοιαν ἀγαθὴν, ἐ
νοφθαλμοῖς θῦ καὶ ἀνων:—
σιραχ φρόντισον περὶ ὀνόματος· αὐτὸ γάρ σοι παρα
μενεῖ, ἢ χίλιοι μεγάλοι θησαυροί· ἀγαθὸν
γὰρ ὄνομα, εἰς τὸν αἰῶνα μενεῖ:—

ρα
Περὶ ζυγῶν καὶ σταθμῶν
καὶ μέτρων:—

λευιτ ζυγὰ δίκαια· καὶ μέτρα δίκαια· καὶ χοῦς

δίκαιος ἔσται ὑμῖν :— μὴ ἔσται ἐν τῇ
οἰκίᾳ σου. μέτρον μέγα καὶ μικρόν·
ἀλλὰ στάθμιον ἀληθινὸν δίκαιον ἔσται
σοι· ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς :—
ἰεζεκιηλ πρ° ζυγὸς δίκαιος· καὶ μέτρον δίκαιον· καὶ χοίνιξ
δίκαιος ἔσται ὑμῖν :— ... — ... —×

ρβ

## περὶ ζυγῶν καὶ σταθμῶν. καὶ μέτρων ἀδίκων :—

Δα͞δ μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων· ψευδεῖς οἱ υἱοὶ
τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι :—
σολ° ζυγοὶ δόλιοι. βδέλυγμα ἐνώπιον κυ :— στάθμιον
μέγα καὶ μικρὸν· καὶ μέτρα δισσά.
ἀκάθαρτα ἐνώπιον κυ ἀμφότερα.
καὶ ὁ ποιῶν αὐτὰ, ἐν τοῖς ἐπιτηδεύμασιν
αὐτοῦ συμποδισθήσεται :—
ζυγὸς δόλιος, οὐ καλὸν ἐνώπιον κυ :—×
— ... — ... — ... — ... — ... — ...×

ργ

## περὶ θυμοῦ καὶ ὀργῆς :—

εὐαγγ° πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ :—
ἀπ° πᾶσα πικρία· καὶ θυμὸς· καὶ ὀργὴ· καὶ κραυγὴ·
καὶ βλασφημία. ἀρθήτω ἀφ᾽ ὑμῶν
σὺν πάσῃ κακίᾳ :— ὁ ἥλιος.
μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν :—
σολο^μ συντρίβει ἀπειλὴ, καρδίαν φρονίμου· ἄφρων
δὲ μαστιγωθεὶς, οὐκ αἰσθάνεται :—
ἀνὴρ θυμώδης, παρασκευάζει μάχας·
μακρόθυμος δὲ, καὶ τὴν μέλλουσαν καταπραΰνει :—
Βασι θυμὸς ἐστὶ, ζέσις τοῦ

περὶ καρδίου αἵματος. ἐξ ἀναθυμιάσεως τῶν χυμῶν σημαινόμενος· ὀργὴ δὲ ἐστὶν ὄρεξις ἀντιλυπήσεως· φασὶ ὁ μὲν ὀξεῖαν ἀρχὴν τοῦ πάθους τὴν κίνησιν· ἡ δὲ μονιμωτέραν καὶ παρατεταμένην ἐμφαίνει. τὴν ἐπὶ τῇ λύπῃ ἐκπλήρωσιν: —

θεο οὔτε στέφανοι χωρὶς ἀνταγωνιστῶν. οὔτε σώματα χωρὶς ἀντιπάλων: —

☧ Οὐδὲν οὕτως καθαρότητα νοῦ· καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν. ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς τῆς ῥύμης φερόμενος: — Ὁ θυμὸς. ὀξύς ἐστι καὶ ὀλιγοχρόνιος· ἡ δὲ ὀργὴ· βραδυτέρα μέν. μονιμωτέρα δέ: — δύο ἐν ἡμῖν πάθη. φυσικώτερα τῶν ἄλλων· θυμὸς καὶ ἐπιθυμία: —. μὴ ἀποδέχου ἀκρατίαν. διωκομένην ὡς πραότητος: —

Καθαροὶ θυμοῦ ὦμεν· οὐ γὰρ κατοικεῖ τὸ πνεῦμα τὸ ἅγιον ἔνθα θυμός: —

πλοῦτ· τὸ μὲν ἄκρατον ὕδωρ. τὰς φλεγμονάς. ὁ δὲ ἐπιεικὴς λόγος. τὰς ὀργὰς διαλύει: — ὡς γὰρ ὁ καικίας τὰ νέφη. καὶ ὁ φαυλόβιος ἐφ' ἑαυτὸν ἕλκει τὰς λοιδορίας: —

Εὐριπίδης· ὥσπερ ἐν τοῖς ὠσὶ τῶν ἀνθρώπων οἰκεῖ ὁ θυμός. χρηστὰ μὲν γὰρ ἀκούσας, τέρψεως ἐμπίπλησι τὸ σῶμα· ὑπεναντία δὲ τούτοις ἀκούσας, ἀνοιδαίνει: —

Μέναν· ἀνὴρ πανοῦργος πρᾶον ὑπεισδύεται σχῆμα.

κεκρυμμένη πρόκειται πολλοῖς τοῖς πτωχοῖς:—

Θεόγνιδ Οὐ δύναμαί σοι θυμὲ, παρασχεῖν ἄρμενα
πάντα:—

Πυθαγό τοὺς ἀδικήσαντας, μὴ πράττε
τὰς δίκας. ἀρκεῖ γὰρ αὐτοῖς, ὑπὸ τῆς ἰδίας
τιμωρεῖσθαι κακίας:— ∴ — ∴ — ⁜

Περὶ ἀκακίας καὶ μνησικακίας:—

εὐαγγ ρα Ἐὰν προσενέγκῃς τὸ δῶρόν σου ἔμπροσθεν:—

ἀπο Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ ἀποδῷ τινί·
ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε:—

Εἰ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέ
πετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε:—

σιράχ Ὃς μνησικακεῖ, παράνομος:— ἄφες ἀδί
κημα τῷ πλησίον σου· καὶ τότε δεηθέν
τος σου, αἱ ἁμαρτίαι σου λυθήσονται:—

Βασι Οὐ δεῖ ἐπὶ παροργισμῷ ἀδελφοῦ δῦναι τὸν
ἥλιον· μή ποτε ἡ νὺξ μεταστήσῃ μεταξὺ ἀμ
φοτέρων. καὶ καταλίπῃ ἐν ἡμέρᾳ κρίσεως.
ἔγκλημα ἀπαραίτητον:—

Θεο Ὁ μὲν γὰρ κακὸς, τάχιστ' ἂν καταφρονοίη καὶ
τοῦ ἀγαθοῦ· ὁ δὲ ἀγαθὸς, οὐδὲ τοῦ κακοῦ
ῥαδίως:— Οὐδεὶς κακῷ κακὸν ἰᾶται·
ἀλλ' ἀγαθῷ τὸ κακόν:—

Ὅταν ἴδῃς τὸν ἐχθρὸν ἐμπεσόντα εἰς τὰς
χεῖρας τὰς σὰς, μὴ νόμιζε τιμωρίας· ἀλ
λοτρίας ἐκεῖνον εἶναι τὸν καιρόν:—

μὴ δεῖν τοῖς μὲν οὕτως ἀδοξάζομεν, ὡς ὀργίλως
καταρχεῖν. καὶ τοὺς πρὸς ἡμᾶς ἀδικοῦντας ἔ
χοντας καταλλάττειν. εἰδότας ὅτι οὐ τὸ ἀρχ.

οὔτε ἐλεημοσύνη· οὔτε νηστεῖαι· οὔτε κοιμω
μίαι μυ σακρίων· οὔτε ἄλλο τῶν τοιούτων οὐ
δὲν ἔσαμ μνησικακῶμεν. δυνήσεται ἡμᾶν
προσαπῆναι κατὰ τὴν ἡμέραν ἐκείνην:—
Σπουδάσωμεν τοίνυν καὶ ἐπειγώμεθα. καταλ
λάττεσθαι πρὸς τοὺς λελυπηκότας· ἄν τε
δικαίως. ἄν τε ἀδίκως ὀργίζωνται· ἄν μὲν
γὰρ ἐνταῦθα καταλλαγῆς. ἀπηλλάγης τῆς ἐ
κεῖ κρίσεως· ἂν δὲ μεταξὺ μενούσης τῆς ἔ
χθρας θάνατος ἐπελθὼν ἀπαγάγῃ τὴν ἔ
χθραν μεθολκύσας. εἰς τὸ δικαστήριον
λοιπὸν ἐκεῖνο τὸ φοβερόν. εἰσαχθῆναι τὴν
δίκην ἀνάγκη· καὶ τὴν ἐσχάτην δώσεις δίκην
ἐπὶ τῇ ἀποφάσει τοῦ δικαστοῦ πάντως ἐκείνου·
καὶ ἀμφότεροι τιμωρίαν ὑποστήσεσθε ἀπαραίτη
τον· ὁ μὲν ἀδίκως ὀργιζόμενος. διὰ τοῦτο
ὅτι ἀδίκως· ὁ δὲ δικαίως. διὰ τοῦτο αὐτό,
ὅτι δικαίως ἐμνησικάκησεν:—
Πάντων τῶν ἁμαρτημάτων. τὸ μνησικακεῖν
φίλω χεῖρον:— Συγγνώμην αἰτούμενος
ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς
σὲ πλημμελοῦσιν· ὅτι ἀφέσει. ἀντιδίδοται
ἄφεσις· καὶ ἡ πρὸς τοὺς ὁμοδούλους ἡμῶν
καταλλαγή. τῆς θείας ὀργῆς γίνεται ἀπαλλαγή:—
Σπούδαζε τὰς μὲν ἔχθρας. ὀλιγοχρονίους ποιεῖ
σθαι· τὰς δὲ ἀγάπας. πολυχρονίους:—
ἐφρι· μνησικακίαν σβεννύουσι δῶρα· καὶ πῆ θέασαι
ἰακὼβ τὸν ἡσαῦ δόμασιν ὑπελθόν:—

μαρτι-
νου α.

ὁ δαίμοσι μνησικακῶν, ἀνθρώποις οὐ μνησικακεῖ.
εἰρηνεύει δὲ μετὰ δαιμόνων. ὁ τῷ ἀδελ-
φῷ μνησικακῶν:— Κροῖσος τῷ παιδο-
φόνῳ τὴν ὀργὴν ἀφεῖναι λέγεται. ἑαυτὸν
παραδόντι εἰς τιμωρίαν. καὶ Κῦρος ὁ
μέγας αὐτῷ τούτῳ τῷ Κροίσῳ. φίλος
γενέσθαι μετὰ τὴν νίκην:—

~ ... ~ ... ~ ... ~ ... ~ ... ~ ... ~

ρε

Περὶ τοῦ πλησίον· ὅτι χρὴ τὰ
βάρη τοῦ πλησίον φέρειν. καὶ
μὴ μνησικακεῖν αὐτῷ:—

λευϊτι-
κόν

ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν:—

σολ(ομῶν)

ὁ ἐλέγχων μετὰ παρρησίας, εἰρηνοποιεῖ:—
ὃς κρύπτει ἀδικήματα. ζητεῖ φιλίαν:—

ἀπ(οστόλου)

ὀφείλομεν ἡμεῖς οἱ δυνατοί, τὰ ἀσθενή-
ματα τῶν ἀδυνάτων βαστάζειν:—
μηδεὶς τὸ ἑαυτοῦ ζητείτω· ἀλλὰ τὸ τοῦ
πλησίον ἕκαστος:— ἀλλήλων τὰ
βάρη βαστάζετε. καὶ οὕτως ἀναπληρώ-
σατε τὸν νόμον τοῦ Χῦ:—

Βασι(λείου)

Οἶδας τί ποι-
ήσας τὸν πλησίον καλόν; ὃ σεαυτῷ καὶ
μὴ παρ' ἑτέρου γενέσθαι:— Ὁ ἀγαπῶν τὸν
πλησίον ὡς ἑαυτόν. οὐδὲν περιττότερον
κέκτηται τοῦ πλησίον:—

Θεο(λόγου)

ἀγαθὸν χρη-
στότητι. νικᾶν θρασύτητα καὶ ὑβριστικοῖς περι-
εῖναι τοῖς ἀδικοῦσι. οἷς καρτεροῦμεν
πάσχοντες:— Ἕκαστος ἡμῶν ἐσμὲν οὐ
μόνοις τιμίοις· καὶ ὁ χοῦς πολλὰ φέρει τὰ ὁ

φμήματα· συγχωρήσωμεν οὖν, ἵνα συγχωρηθῶμεν· ἀφῶμεν ἵνα ἀφεθῇ ἡμῖν:—

κησ
αὐτὰρ ἐμοί τι μωρίαν κατὰ τῶν ἀδικούντων. ἢ τοῦ ἀντιδρᾶν ἐξουσία:— ἕτοιμον τὸ χρηστὸν εἰς συγγνώμην:— συγχωρήσωμεν τὰ εἰς ἡμᾶς, ἵνα καὶ αὐτοὶ τύχωμεν συγχω:—

μηδεὶς ἀπατάτω μάταιος λογισμός, ὅτι τὸ δικαίως ἐξελθεῖν ἀνεύθυνόν ἐστι· καὶ τὸ παραδοῦναι τοῖς νόμοις τὸν ἀδικήσαντα:—

☧ Ὁ γλάπτρως πρὸς τὸ τῶν παραπτωμάτων μέτρον, δεῖ τὴν ἐπιτίμησιν ἐπάγειν· ἐὰν καὶ τῆς τῶν ἁμαρτανόντων ἀποχάζεσθαι προαιρέσεως. μήποτε τὸ διερρωγὸς ῥαγῇ κινούμενος. χάριν τὸ χρῖσμα τρικός:—

ἀββᾶ· μαξί μου — γὰρ μου τοῖς πᾶσιν. ὡς σοὶ θέλεις τοῖς πᾶσι:— τὴν συγχώρησιν τῶν ἁμαρτημάτων ἡμῶν. ἐν τῇ συγχωρήσει τοῦ πλησίον εὑρίσκομεν. καὶ τὸ ἔλεος τοῦ κυ. ἐν τῇ ἐλεημοσύνῃ τοῦ πλησίον ἐγκέκρυπται· διὰ τοῦτο ὁ κσ ἔλεγεν· ἀφίετε καὶ ἀφεθήσεται ὑμῖν. ἐν τῷ θελήματι ὑμῶν. λοιπὸν ἐστιν ἡ σωτηρία ὑμῶν:—

—— ∴ —— ∴ —— ∴ —— ∴ —— ∴ —:—

ρς

## Περὶ τῶν μὴ ἀφιέντων. ἀλλὰ μνησικακούντων:—

εὐαγ — Ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ὑμῶν:—

θεο — Ὅμοιος γάρ ἐστι κακῶν: καὶ ἀμβλὺς ἀσωφρόνιστος. καὶ

κατάφρασις ἀσυγχώρητος. ἡ μὲν ὁρμὴ ἔφθη
εἰς τὴν ἔννοιαν. ἡ δὲ τῇ σφοδρᾷ κατάσχεσα :—

Τί ἂν γένοιτο μνησικακίας χεῖρον, ὅταν
φιλονικίαν ἐξενεχθεῖσαν ἀνακαλεῖται διαπαντός :—

τὸ μὴ καταλλάττεσθαι τῷ λελυπηκότι. οὐ
κ ἐκεῖνον ἐστὶν ἀμυνομένου τοσοῦτον, ὅσον τὸν
θν̄ ὑβρίζοντος. τὸν ταῦτα νομοθετήσαντα :—

ρζ' Περὶ εὐχαριστούντ καὶ εὐγνωμο
νούντων :—

Δαδ Σιράχ Τί ἀνταποδώσω τῷ κῳ περὶ πάντων ὧν
ἀνταπέδωκέ μοι :— Ὁ ἀνταποδιδοὺς
χάριτας, μέμνηται εἰς τὰ μετὰ ταῦτα.
καὶ ἐν καιρῷ πτώσεως αὐτοῦ, εὑρήσει στήριγμα :—
χάριν ἀνου, ὡς κόρην ὀφθαλμοῦ συντήρησον :—

Βασι φίλω Πρέπουσα δοξολογίας ὑπόθεσις, ἡ τῶν εὐερ
γετημάτων διήγησις :— Οὐδὲν οὕτως
εὐάγωγον εἰς εὔνοιαν, ὡς ἡ τῶν εὐεργετημά
των ἀφήγημα :— ... — ... — ... —

ρη' Περὶ ἀγνωμονούντων καὶ
ἀχαριστούντων :—

Δαδ Ἀνταπεδίδοσάν μοι, πονηρὰ ἀντὶ ἀγαθῶν :—
Σολο Σιράχ Ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθή
σεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ :— Ἀχάριστος
ἐν διανοίᾳ, καταλείψει ῥυσάμενον :—
Ζημιεῖς καὶ ποτὲ εἰς ἀχάριστον. καὶ πρὸς ἔτι
τούτοις μικρὰ ἀκούσῃ· διαχάσεια γὰρ
κακὰ εὑρήκασιν ἐν πᾶσιν ἀγαθοῖς, οἷς ἐὰν
ποιήσῃ αὐτοῖς :— Ὁρῶμεν πολλοὺς τῶν

ἀνθρώπων μετὰ τὰς εὐεργεσίας καθάπερ ἀνδραπόδων οὕτως ὑπερορώντων τῶν εὐεργετησάντων. καὶ τὰς ὀφρῦς ἀνασπώντων κατ' αὐτ(ῶν):—

ρθ Περὶ συμβουλῶν. καὶ τῶν συμβουλίαν καὶ ἔλεγχον δεχομένων:—

Σολο(μῶντος) Βουλὴ ἀγαθῶν, σύμβουλος:— Εἰσακούει συμβουλίαν σοφός:— μῆλον χρυσοῦν, ἐν ὁρμίσκῳ σαρδίου· καὶ λόγος σοφός, εἰς εὐήκοον οὖς:— γνώριζε δικαίῳ. καὶ προσθήσει τοῦ δέχεσθαι:— Ὃς ἀπωθεῖται παιδείαν, μισεῖ ἑαυτόν· ὁ δὲ τηρῶν ἐλέγχους, ἀγαπᾷ τὴν ψυχὴν αὐτοῦ:—

Βασι(λείου) Ἄριστος ὁ παρ' ἑαυτοῦ τὰ δέοντα συνορῶν· ἐσθλὸς δὲ κἀκεῖνος, ὁ τοῖς παρ' ἑτέρων ὑποδειχθεῖσιν ἑπόμενος· ὁ δὲ πρὸς οὐδέτερον ἐπιτήδειος, ἀχρεῖός ἐστι πρὸς ἅπαντα:—

Θεο(λόγου) Τἆλλα μὲν βλέπων ὀφθαλμός, ἑαυτὸν οὐ βλέπει· ἀλλ' οὐδὲ τἆλλα, ἢν ἄρα μὴ μετρίως τύχῃ. τούτου χάριν, συμβούλων εἰς ἅπαν χρεία· καὶ γὰρ χεὶρ χειρὸς καὶ ποδὸς πούς, ἐνδεής:— Ἔστι γὰρ τοῦτο ἀνδρὸς μεγαλόφρονος. φίλων ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν. ἢ ἐχθρῶν

Χρ(υσοστόμου) κολακείαν:— Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα αὐτοῦ. καὶ οὕτως ἔρχου ἐπ' αὐτό:—

Θεοδωρίτου. φιλεῖ γὰρ ἡ τῶν πλειόνων συγκατάθεσις. κρατύνειν τὰ δοκοῦντα:—

ρι Περὶ τῶν συμβουλὴν καὶ ἔλεγχον μὴ δεχομένων:—

Σολο(μῶντος) Εἰς ὦτα ἄφρονος μηδὲν λέγε· μήποτε μυ

κτηρίσηι τοῖς σημείοις συμμάχοις:— ὁ παι-
δεύων κακούς, λήψεται ἑαυτῶι ἀτιμίαν:—
Οἱ μισοῦντες ἐλέγχους, τελευτήσουσιν αἰσχρῶς:—
Οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν:—
σιράχ ἀσύμβουλος ἀνήρ. πλοῖον ἐστὶν ἀκυβέρνη-
εὐαγγ τον:— ἐὰν ἁμαρτῇ ὁ ἀδελφός σου.
νείλου ἔλεγξον αὐτόν:— περιττὸς πᾶς λόγος
πρὸς διόρθωσιν. ὅταν ἡ τῶν ἀκουόντων
πρὸς τὸ χεῖρον ἀπολελυμένη σπουδή, τοῖς
κατὰ σημείου μὲν ἁρμοζομένοις ἐναντίως διάκειται:—
φίλων Οὐδενὶ τῶν φαύλων ἐστὶ ὡς ἔλεγχος. ἀη-
δονὴς ἐστίν:— ... — ... — ... — ... — ⁜

ρια

## Περὶ αἰσχύνης ἀγαθῆς:—

σολομ Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. καὶ ἔστιν αἰ-
σχύνη δόξα καὶ χάρις:— Οὐκ ἔστι
σιράχ πᾶσαν αἰσχύνην φυλάξαι καλόν:—
θεολ Καλὸς δ' ἀκούσων αἰσχύνου. μὴ δυσοργήσῃς. γό-
μος γὰρ εἰσὶν οἱ παλαιοὶ σοφοὶ τῶν:—
γόνοις προάρχειν κρεῖσσον. ἢ μάχην γόνῳ:—
Τὸν αἰσχυνόμενον. ἁμαρτίαν δεῖ αἰσχύνε-
σθαι· καὶ τὸ τῷ θεῷ προσκροῦσαι· καὶ τὸ ποιῆ-
σαί τι. τῶν οὐ δεόντων:— ... — ... — .. ⁜

ριβ

## Περὶ αἰσχύνης πονηρᾶς:—

σιράχ Περὶ τῆς ψυχῆς σου μὴ αἰσχυνθῇς· ἔστι γὰρ αἰ-
σχύνη ἐπάγουσα ἁμαρτίαν. καὶ ἔστιν αἰσχύνη
δόξα καὶ χάρις· καὶ μὴ λάβῃς πρόσωπον
κατὰ ψυχῆς σου· καὶ μὴ ἐντραπῇς εἰς
πτῶσίν σου:— Ἐὰν γυναικὶ πονηρᾶι.

καλὸν σφραγίς. καὶ ὅπου χεῖρες πολλαὶ κλεῖ
σον. ὃ ἐὰν παραδιδῷς. ἐν ἀριθμῷ. καὶ στα
θμῷ. καὶ δόσις καὶ λῆψις. πάντα ἐν γραφῇ:—

ρις Περὶ τῶν τοὺς ὅρκους σεβόντ.
καὶ ὅτι οὐ χρὴ μάταιον λαμβάνειν
ὅρκον. ἢ ὅλως ὀμνύειν:—

σολ Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου. καὶ ὀνομασίαι
απ τοῦ ἁγίου μὴ συνεθισθῇς:— Πρὸ πάντων
ἰακω ἀδελφοί μου μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν
μήτε τὴν γῆν. ἔστω δὲ ὑμῶν:—

Πάσης ἀντιλογίας πέρας εἰς βεβαίωσιν
νυς ὁ ὅρκος:— Ὅρκος ἐστὶ λόγος πιστούμε
νος δι' ἑαυτοῦ τὴν ἀλήθειαν:—

σωκρά Ὅρκον ἐπακτὸν προσδέχου. διὰ δύο προφά
τους σεις. ἢ σεαυτὸν αἰτίας ἀπολύων. ἢ φί
λους ἐκ μεγάλων κινδύνων διασῴζων:—
Ἕνεκεν χρημάτων μηδένα θεὸν ὀμόσῃς.
μηδ' ἂν εὐορκεῖν μέλλῃς:—
Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας, τρόπον ὅρκου
πιστότερον φαίνεσθαι παρεχομένους:—
Τρόπου καλοκἀγαθίαν. ὅρκου δεῖ πιστοτέ
ραν ἔχειν:— ::: — ::: — ::: — :: —*

ριζ Περὶ πολυόρκων καὶ τῶν
τοὺς ὅρκους ἀπαιτούντων:—

σιραχ. Ἀνὴρ πολύορκος, πλησθήσεται ἀνομίας. καὶ
οὐκ ἀποστήσεται ἐκ τοῦ οἴκου αὐτοῦ μάστιξ:—
βασι Πιστούμενος τὸ ψεῦδος διὰ τῶν ὅρκων, κακό:—
Ὁ ὀμόσας ἐπὶ ψεύδει, κἂν ζῇ, τέθνηκεν:—

φίλ ἐκ πολυορκίας ψευδορκία τίκτεται:— φασί
τινες, τὸ εὐορκεῖν ὁ καὶ ἀπὸ γνώμης τόν· ἀλλ' ἤδη
ὁ γὰρ ὀμνύς· εἰς ἀπιστίαν ὑπονοεῖται:—
τὸν ὀμνύντα μάτην ἐπ' ἀδίκοις· θεὸς ὁ τὴν φύσιν
ἵλεως, οὔποτε τῆς αἰτίας ἀπαλλάξει· ἀκά-
θαρτον καὶ μιαρὸν ὄντα. κἂν διαφύγῃ τὰς
ἀνθρώπων τιμωρίας:— ... — ... — ...

ρ̃ιε περὶ ζήλου ἀγαθοῦ καὶ μιμήσεως χρηστῆς:—

ἀπ̊ ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα:—
μιμηταί μου γίνεσθε. καθὼς κἀγὼ χ͞υ:— Και-
τανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγά-
Βασι πης ς̀ καλῶν ἔργων:— ἐὰν ἴδῃς ἐθνικὸν
μου σώφρονος ς̀ τῆς λοιπῆς κατὰ τὸ ἦθος
εὐταξίας ἐπιμελούμενον. πλέον σεαυτοῦ
τὸ σπουδαῖον ἐπίτεινον· ἵνα γένῃ παραπλη-
σίος τῇ καρποφόρῳ ἐλαίᾳ· ἐκ τῆς τῶν ἀγρί-
ων παρουσίας συναθροιζούσῃ τὴν δύνα-
μιν· καὶ τὴν μὲν ῥίζαν ἐπεχούσῃ, ἐπιμελέ-
στερον δὲ τοὺς καρποὺς ἐκτρεφούσῃ:—

ρ̃ις περὶ ζήλου καὶ μιμήσεως πονηρᾶς:—

δ͞αδ μὴ παραζήλου ἐν πονηρευομένοις· μηδὲ ζή-
λου τοὺς ποιοῦντας τὴν ἀνομίαν:—
σολο^μ μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη· μηδὲ
ζηλώσῃς τὰς ὁδοὺς αὐτῶν:— ὁδοὺς ἀσε-
βῶν μὴ ἐπέλθῃς· μηδὲ ζηλώσῃς ὁδοὺς
σιράχ παρανόμων:— μὴ ζηλώσῃς δόξαν ἀ-

μαρτωλῶν· οὐ γὰρ οἴδας τί τέξεται ἡ κατα
θεο στροφὴ αὐτῶν:— μὴ ζηλώσῃς τί τῶν οὐ
φθονουμένων, ἀλλὰ μισουμένων:—
μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων·
λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος:— ςς—ς—×

ριζ Περὶ ἀγάπης· καὶ εἰρήνης· ϗ
ὁμονοίας. ϗ εἰρηνοποιῶν:—

Δαδ ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν:— μετὰ
τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρη
σο νικός:— ὁ ἐλέγχων μετὰ παρρησίας εἰ
ρηνοποιεῖ:— ὃς κρύπτει ἀδικήματα
ζητεῖ φιλίαν:— πάντας τοὺς μὴ φιλονει
κοῦντας καλύπτει φιλία:— κρεῖσσον
ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πλή
ρης πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων
μετὰ μάχης:— κρείσσων ξενισμὸς
μετὰ λαχάνων πρὸς φιλίαν ϗ χάριν, ἢ
παράθεσις μόσχων μετὰ ἔχθρας:—
Ζαχ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε
λέγει κσ παντοκράτωρ:—
εὐαγ μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει. ἵνα τις
τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ:—
ἀπο εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων
εἰρηνεύετε:— ἡ ἀγάπη τῷ πλησίον
κακὸν οὐκ ἐργάζεται:— πλήρωμα οὖν νόμου ἡ ἀγάπη:—
ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν
ἀγγέλων ἀγάπην δὲ μὴ ἔχω. γέγονα χαλκὸς ἠχῶν:—
πᾶς ὁ νόμος ἐν ἑνὶ λόγῳ πεπλήρωται ἐν τῷ:×

ἀπ° ἰω θν̄ οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶ-
μεν ἀλλήλους, ὁ θς̄ ἐν ἡμῖν μένει· καὶ ἡ ἀ-
γάπη αὐτοῦ ἐν ἡμῖν τετελειωμένη ἐστίν:—
ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν θν̄ καὶ τὸν ἀ-
δελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν:—

βασι θεο Οὐ πάντων θς̄ ὁ θς̄· ἀλλὰ τῶν οἰκειωθέν-
των αὐτῷ διὰ τῆς ἀγάπης:— Οὐδὲν
οὕτως ἰσχυρὸν πρὸς ἀγάπησιν. ὡς ἀντιδι-
δομένη διάθεσις:— Κρεῖσσον ἐπαινού-
μενος πόλεμος. εἰρήνης χωριζούσης θῦ:—
Κρεῖσσον ἡττᾶσθαι καλῶς. ἢ νικᾶν ἐπισφα-
λῶς καὶ ἀθέσμως:— μὴ δ' οἰέσθω
με λέγειν, ὅτι πᾶσαν εἰρήνην ἀγαπη-
τέον· οἶδα γὰρ ὡς διάστασιν τινὰ καλλί-
στην. οὕτω καὶ ὀλεθριωτάτην ὁμόνοιαν·
ἀλλὰ τήν τε καλὴν καὶ ἐπὶ καλοῖς. καὶ θεῷ
συνάπτουσαν:— Μάλιστα μὲν εἰς ὁμόνοιαν.
τὸ συμπάσχειν· εἰς δὲ συμμονήν, ἡ ὁμόνοια:—

Κ ἄριστον ἡ ὁμόνοια καὶ τὸ συμφρονεῖν ἀλλήλοις:—

νυσς Εἰρήνη ἐστίν, ἡ τῶν διεστηκότων ὁμοφωνία:—

φίλω Εἰρήνη κἂν ᾖ σφόδρα ἐπιζήμιος. λυσι-
τελεστέρα πολέμου:— Εἰρήνη. ἡ εὐ-

κάτων νομίας ὀρθῆς φύλαξ:— Κάτωνα μὲν
ὅμως λέγεται ὁ δίκαιος τοῖς στασιάζουσιν οἰ-
κοις ἐπιφοιτῶν. λόγοις εἰρήνης διαλαρί-

λαμάχου μειν τὰς ἔριδας:— Λάμαχος ἐπιτι-
μῶν τινι τῶν λοχαγῶν ἁμαρτήσαντι·
τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν. οὐ

κάλλιον εἶπεν. ὅτι πολέμιοι διὸ ἁμαρτεῖν:—

ριη περὶ μίσους καὶ ἔχθρας· καὶ
τῶν μάχας συναπτόντων:—

δαδ παῦσαι ἀπὸ ὀργῆς· καὶ ἐγκατάλειπε θυμόν:—
μὴ παραζήλου ὥστε πονηρεύεσθαι· ὅτι οἱ
πονηρευόμενοι, ἐξολοθρευθήσονται:—

σολ φιλαμαρτήμων. χαίρει μάχαις:— λό
γος λυπηρός, ἐγείρει ὀργάς:— μὴ φιλε
χθρήσῃς πρὸς ἄνθρωπον μάτην ἵνα μή τι

ἰσζε εἰς σέ, ἐργάσηται κακόν:— πᾶς ὁ οἱ
κιλ. κοσίκης. φιλόνεικος καὶ σκληροκάρδιοι:—
ἀνὴρ ἁμαρτωλός, ταράξει φίλους:—

εὐαγ πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυ
τὴν. ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία
μερισθεῖσα καθ' ἑαυτὴν. οὐ σταθήσεται:—

ἀπο εἴ τις δοκεῖ φιλόνεικος εἶναι. ἡμεῖς
τοιαύτην συνήθειαν οὐκ ἔχομεν· οὐδὲ
αἱ ἐκκλησίαι τοῦ θεοῦ:— ὁ ταράσσων
ὑμᾶς, αὐτὸς βαστάσει τὸ κρίμα ὅστις ἂν ᾖ:—
ὅπου ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστα
σία καὶ πᾶν φαῦλον πρᾶγμα:— δοῦλον
κυ οὐ δεῖ μάχεσθαι· ἀλλ' ἤπιον εἶναι πρὸς πάντας:—

Βασι ἐν ἁμίλλαις πονηρίας, ἀθλιώτερος ὁ νική
σας· διότι ἀπέρχεται τὸ πλέον ἔχων τῆς

θεο ἁμαρτίας:—. ἔχθρας ὅρος ἡ μόσκε·
☧ ὁμοίας δέρμα:— εἰ μεταξὺ πάντων ἐπαρ
μέναι μικροτυχία, τί θαυμαστὸν εἰ καὶ μετα

Ἰσοκρά ξὺ ἡμῶν:— πεφύκασιν αἱ πονηραὶ φιλίαι
τους.

καὶ φιλόνεικοι· μὴ πρότερον μελήσαντες τῆς διαμάχης καὶ ἔριδος· πρὶν ἢ κυρίαν δόξασθαι τῶν πλησίων. καὶ ἂν βούλησθε τι μαρτυρίας ἀφέσεως μετεῖν :— ∴ — ∴ — ∴ — ※

ριθ ς̈

## περὶ καταλαλούντων
## καὶ περὶ ὕβρεως :—

Δευτερονομίου: Ἀκοὴν ματαίαν μὴ παραδέξῃ :—

Δαδ: Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον :—

Βασι: Ὁ καταλαλῶν ἀδελφοῦ, ἢ ἀκούων καταλαλοῦντος καὶ ἀνεχόμενος, ἀφορισμοῦ ἄξιοι εἰσὶν οἱ ἀμφότεροι :—

Θεο: Οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια· καὶ μάλιστα ὅταν τύχωσιν ὑπ' ἐννοίας τινὸς ἢ μίσους ἑλκόμενοι· ἀφ' ὧν φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια :—

☧: Ὁ διασύρων τὸν πλησίον αὐτοῦ, ἀδελφικὰ κρέα ἔφαγεν· ὑπομένει τὴν τιμωρίαν, ὡς μυρία ἕτερα ἐργασάμενος διὰ τοῦ λόγου κακά :— Ἂν μὲν ὀνειδίσῃ σε ὁ ἐχθρὸς ἁμάρτημα ὃ σὺ σαυτῷ σύνοιδας· σὺ δὲ ἀκούσας ἐκεῖνον μὲν μὴ ὑβρίσῃς· ὤμωξον δὲ πικρὸν καὶ τὸν θν̄ παρακαλέσας, ἔθος ἀπόθου τὴν ἁμαρτίαν ἅπασαν :—

Χαβρίου: Ἡ μὲν μάχαιρα τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους :— Οὔτε ἀρρώστου ὑπηρεσίαν, οὔτε ἀνοήτου ἀπειλὴν δεῖ θαυμάζεσθαι :—

Δημοκρίτου: Ἐρευνᾶν τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι· πρὸς δὲ τὴν

τῶν πολλῶν δόξαν ἀποκλείουσιν :— Πολλαχῶς τις ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων φαύλων εἶναι. εἶπεν· ἐμοὶ μὲν ὄνειδος οἱ γονεῖς. σὺ δὲ τοῖς γονεῦσιν :—

ρκ Περὶ γλώσσα λαλιᾶς :—

εὐαγ Πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι. ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ :— ἐκ τῶν λόγων σου δικαιωθήσῃ. καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ :—

ἀπο Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. ἀλλ' εἴ τις ἀγαθὸς. πρὸς οἰκοδομὴν πίστεως :—

Βασι Μὴ πάντα θάρρει τῇ γλώσσῃ. ἵνα μὴ πάθῃς ἀκαίρως. Καθάπερ ὀφθαλμὸς ὅλον τὸν ἥλιον θεωρῶν ἀποκλείεται. οὕτω καὶ ὁ ἄφρων :—

* Πολλοὶ πολλάκις σωφρονοῦντες. ἀπὸ ῥημάτων αἰσχρῶν. ἦλθον ἐπὶ πράξεις πονηράς. οὐ γάρ ἐστιν ἡ τύχη ἐκ μόνου τὸ φαυλίσαι. οὐ τὸ κακῆ. ἀλλὰ προσαιρεῖται καὶ τοῦτο κἀκεῖνο γίνεσθαι :— Μηδεὶς ἔστω λόγος ἀργός. ἀπὸ γὰρ τοῦ ἀργοῦ. καὶ εἰς ἀτόπους καταντῶμεν :—

ἐφρίον Λάλει ἃ δεῖ. καὶ ὅτε δεῖ. καὶ ὑπὲρ ὧν δεῖ. καὶ οὐκ ἀκούσεις ἃ μὴ δεῖ :—

Ἰσοκράτους Πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα. προτρέχει τῆς διανοίας :—

Κλειτάρχου. Ὃ μὴ θέλεις ἀκούειν. μηδὲ εἴπῃς. ὃ μὴ θέλεις λαλεῖν, μηδὲ ἄκουε. ὤτων καὶ γλώσσης. μέγας ὁ κίνδυνος :—

Σωκράτ πρὸς ὀνειδίζοντα τὸ πάντα λέγειν. καὶ μηδὲν ἐθέ-
λειν ἀκούειν:— πολυλογία. πολλὰ
σφάλματα ἔχει· τὸ δὲ σιγᾶν ἀσφαλές:—
Σιμοκά- αὐρό τοις ἁμαρτομένην. ἔργοις τὴν τιμω-
τους ρίαν ἐφελκομένην:— sss — sss — sss — s ✶

ρκα' π(ερὶ) ἀντιλογίας καὶ θρασύτητος:— ✶

ἀπο(στόλου) Σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ·
μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με
ἐποίησας οὕτως; ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κε:—
Σολομ(ῶντος) ἀντιλογίαν πραΰνει. πᾶς σιγηρός:—
Βασι(λείου) Ὅπου ἔχθραι· ἔρεις· θυμοί· φιλονεικίαι· θο-
ρύβους ἀσιγήτους τῆς ψυχῆς ἐμποιοῦσαι.
ἐκεῖ τὸ πνεῦμα τῆς πραότητος οὐκ ἀναπαύεται:— ἡ ἀντιλογία. τὸ αὐτοκρα-
τορικὸν καὶ ἀνυπότακτον δείκνυσι. κἂν
ἐν σχήματι γένηται ταπεινοφροσύνης:—
✶ Εἰ τέλος παιδείας τὸ ἑαυτὸν αἰσχύνεσθαι.
ἐσχάτης ἀπαιδευσίας τὸ μὴ δὲ τοὺς ἄλ-
λους αἰσχύνεσθαι:— ἀναισχυντία μὲν,
ἴδιον φαύλου· αἰδὼς δὲ, σπουδαίου:—
τὸ μὴ αἰσχύνεσθαι κακὸν ὄντα. κακίας
Σωκρά- ὑπερβολή:— γλώσσῃ θρασείᾳ μὴ
τους· χρᾶσθε· πολλάκις γὰρ τὸ θράσος. καὶ αὐ-
τὴν ἀφαιρεῖται τὴν κεφαλήν:— sss — s — s ✶

ρκβ' π(ερὶ) προπετοῦς· καὶ ἀναιδοῦς·
καὶ ὀργίλου· καὶ θυμώδους. καὶ
ὀξυχόλου:—

Δαδ παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν:—

θυμὸς αὐτοῖς. κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφε:—

σο ἀνὴρ θυμώδης. οὐκ εὐσχήμ:— ὀξύθυμος. πράσσει μετὰ ἀβουλίας:— βαρὺ λίθος. καὶ δυσβάστακτον ἄμμος· ὀργὴ δὲ ἄφρονος. βαρυτέρα ἀμφοτέρων:— χᾳ μὴ ἄφρον. καταστασσον τι οἴσιν αὐτόν:— ἄνεμος βορρᾶς. ἐξεγείρει νέφη· πρόσωπον δὲ ἀναιδές· γλῶσσαν ἐρεθίζει:— μὴ σπεύσῃς ἐν πνι σου θυμοῦσθαι· ὅτι θυμὸς. ἐν κόλποις ἀφρόνων. αὐλίζεται καὶ ἀναπαύεται:—

Ἠσαΐου νεῦρον σιδηροῦν ὁ τράχηλός σου. ϛ τὸ πρόσωπόν σου χαλκοῦν:—

Ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύντησας πρὸς πάντας:— μὴ προπετὴς γένου· ἵνα μὴ ἐξαρθῇς:—

εὐαγ πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ:—

ἀπο ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. μηδὲ δίδοτε:— πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ βλασφημία. ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ:—

Θεο θυμὸν χαλίνου. μὴ φρενῶν ἔξω πέσῃς:—

οὐδὲν οὕτως καθαρότητα νοῦ καὶ τὸ διειδὲς θολοῖ τῶν φρενῶν. ὡς θυμὸς ἄτακτος καὶ μετὰ πολλῆς τῆς ῥύμης φερόμενος:—

~ ::: — ::: — ::: — ::: — ::: — ::: — ::: — * ·

ρκγ περὶ ταπεινοφρονούντων. καὶ πτωχῶν τῷ πνι:—

Ἰώβ κύφοντας ὀφθαλμούς. σώζει ὁ θσ:— ἀκούων

ὠτὸς, ἤκουόν σου τὸ πρότερον· νῦν δὲ ὁ ὀφθαλ:—

σο τοὺς ταπεινοφρονοῦντας, ἐρείδει κσ δόξαν:—
κσ ὑπερηφάνοις ἀντιτάσσεται· ταπεινοῖς δὲ
δίδωσι χάριν:— σῶμα ταπεινὸν, μετὰ
σοφίαν:— ἠγαπήσατε τὸν φαυλίζοντα τὴν
τύχην αὐτοῦ:— Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐ
πὶ τὸν ταπεινὸν καὶ ἡσύχιον. καὶ τρέμοντά μου τοὺς λό:—

σιράχ Ὅσω μέγας εἶ τοσούτω ταπείνου σαυτόν. καὶ ἔναν
τι κυ εὑρήσεις χάριν:— θρόνους ἀρχόντ.
καθεῖλεν ὁ κσ. καὶ ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτ:—

εὐαγγ Ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμ.
λέγετε δοῦλοι ἀχρεῖοί ἐσμεν· ὃ ὠφείλομεν ποιῆσαι:—

βασι γυμνάσιον ταπεινοφροσύνης. ἡ ἐν τοῖς εὐτελεστέ
ροις πράγμασι διατριβή. τὸ πάθος τῆς φιλο

θεο δοξίας θεραπεύουσα:— τὸ ταπεινὸν. μετὰ
τῆς ἀδοξίας, ἔχει καὶ τὴν ἀσφάλειαν:—
Κρεῖσσον ὄντα σοφὸν ὑφίεσθαι δι' ἐπιείκειαν.
ἢ ἀμαθῶς ἔχοντα. διὰ θράσους ὑπερεκτείνεσθαι:—

χρ Οὐδὲν οὕτω τῷ θεῷ φίλον. ὡς τὸ μετὰ τῶν
ἐσχάτων ἑαυτὸν ἀριθμῆσαι:— Οὐχ οὕτω
τὸν ἁμαρτάνοντα. ὡς τὸν κατορθοῦντα
χρὴ μετριάζειν:— ταπεινοφροσύνη ἐστὶ
τὸ ὑψηλὸν ὄντα ἀπὸ κατορθωμάτων. ταπεινοῦν

νύσσης ἑαυτὸν ἀπὸ διανοίας:— αὕτη μία ὁ χαράττε
ται. τῷ ἑαυτὸν ταπεινοφροσύνῃ παιδαγωγήσαντι:—
ταπεινοφροσύνη ἐστὶ. τὸ ταπεινὰ φρονεῖν· τὸ ἑτέ
ρου ὀνειδίζοντος φέρειν· τὸ ἐπιγινώσκειν
τὸ ἁμάρτημα:— ταπεινόφρων ἐκεῖνος

ἐστὶν. ὁ ὑψηλὰ δυνάμενος φρονεῖν. ταπεινόφρων:-

νει μακάριος ὁ τὸν νοῦν ὑψηλὸν ἔχων. ταπεινὸν δὲ τὸ φρόνημα:- συναναστρέφου τοῖς ἔχουσι ταπείνωσιν. καὶ μαθήσῃ τοὺς τρόπους αὐτῶν. εἰ γὰρ ἡ θεωρία τῶν εἰρημένων ὠφέλιμος. πόσω μᾶλλον ἡ διδασκαλία τοῦ στόματος αὐτῶν:- ∴ — ∴ — ∴ — ∴ —

## ρκδ περὶ ὑπερηφάνων. καὶ σοβαρῶν. καὶ ἀλαζόνων. καὶ κενοδόξων:-

ἰὼβ πάντα ὑβριστὴν ταπείνωσον. ὑπερήφανον δὲ σβέσον. σῆψον δὲ ἀσεβεῖς παραχρῆμα. τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον:-

δα̅δ̅ ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ. ἐμπυρίζεται ὁ πτωχός:-

σολ^ο ἀκάθαρτος παρὰ κ̅ω̅. πᾶς ὑψηλοκάρδιος:-

ἰερε ἐὰν μετεωρισθῇς ὡς ἀετός. καὶ ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς νοσσιάν σου. ἐκεῖθεν κατάξω σε λέγει κ̅ς̅:- ὑπερηφανίσθησαν καὶ ἐπείνασαν. ὅτι εἶπαν. οὐκ ἔστιν κ̅ς̅ ὁ [illegible] ἡμῶν:-

σιράχ μὴ ἐξύψου σεαυτόν. ἵνα μὴ πέσῃς καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν:- μισητὴ ἐναντίον κ̅υ̅ καὶ ἀνθρώπων ἡ κενοδοξία:- κρεῖσσον ἀνὴρ ἐν ἀτιμίαι δουλεύων ἑαυτῷ. ἢ ὁ τιμὴν ἑαυτῷ περιτιθείς. καὶ προσδεόμενος ἄρτου:- ἐξέλιπεν ὁ ἄνομος. ἀπώλετο ὑπερήφανος. πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ:-

εὐαγ^ε δόξαν παρὰ ἀλλήλων λαμβάνοντες. τὴν παρὰ τοῦ μόνου θ̅υ̅ οὐ ζητεῖτε:- πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται:-

τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον κυ:—

ἀπο Μὴ γινώμεθα κενόδοξοι· ἀλλήλους προκαλούμενοι ἀλλήλοις φθονοῦντες:—

βασι Τῷ ὄντι θεραπευόμενα τὰ ὑπερήφανα ἤθη· ἑαυτῶν ὑπεροπτικώτερα πέφυκε γίνεσθαι:—

Ὁμοίως ἐστὶ χαλεπόν· ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι. καὶ ἐν ταῖς περιφανείαις μὴ ἐπαρθῆναι:—

Κενόδοξός ἐστιν. ὁ τι μόνον ἕνεκεν τῆς ἐν τῷ κόσμῳ δόξης. τῆς παρὰ τῶν ὁρώντων ἢ ἀκουόντων. ποιῶν τι ἢ λέγων:—

θεο Μὴ ἐπαρθῇς μέγα· ἵνα μὴ μεῖζον καταπέσῃς:—

Μέγα τοῖς ἀνοήτοις ἡ κενὴ δόξα. πρὸς ἀρετὴν ἐμπόδιον:—

Τὸ οἴεσθαι. τοῦ εἶναι τὸ πλεῖστον ἀφαιρεῖται:—

Μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κρείττων· λυποῦ δὲ τῶν ἀγαθῶν ἡττώμενος:—

Ὕβρις, μικρῶν κρατοῦντα φυσιοῦσθαι μέγα:—

☧ Εἰκότως εἴρηται παρὰ τῶν παλαιῶν κενοδοξία· διάκενος γάρ ἐστιν. ἔνδον οὐδὲν ἔχουσα τι χρήσιμον:—

νύσσης· Ἡ ἀσθένεια καὶ ἡ σεμνότης τοῦ ὑπερηφάνου. τὸ συγγενὲς πρὸς τὴν πλίνθον ἔχει:—

φίλω Φασί τινες. ὅτι ἔσχατον ἀποδύεται τὸν τῆς κενοδοξίας χιτῶνα ὁ σοφός:—

Τῶν πολιτικῶν ἔνιοι τὰς ἴσας ἀφ[illegible]. κενὸν τάφον [illegible] μόνον οὐκ ἔχοντα:—

ἀσρεί· Ἐν παντὶ. τὸ οἴεσθαι. τοῦ εἶναι ἐμποδίζει:—

οἰκείας προκοπῆς ἐκκοπή:— Μνήμη παρα-
κλίμα ρετῆς. λογισμὸς ὑπερήφανος:— Χαλεπὸν
κος. διαφυγεῖν τὸν τῆς κενοδοξίας δαίμονα. ὃ
γὰρ ποιήσῃ τις καθαιρέσιον αὐτῆς. τοῦτο
ἀρχὴ κενοδοξίας ἑτέρας γίνεται:—
πλάτω Δεῖ τῶν νέων ἐκ παιδευμάτων τὸ οἴεσθαι καὶ
νος. τὸν τῦφον ἢ τῶν ἀσκῶν τὸν ἀέρα. τοῖς ἀκού-
ειν τι βουλομένοις χρήσιμον. εἰ δὲ μὴ,
γέμον τοῦ ὄγκου καὶ φυσήματος οὐ προσδέχεται:—
σωκρά Τοῖς μὲν ἀσκοῖς τὸ πνεῦμα διΐστησι. τοῖς δὲ ἀνο-
τους ήτοις ἀνθρώποις τὸ οἴεσθαι:— Ἀλέξανδρος
νοσήσας μακρὰν νόσον ὡς ἀνερρώσθη,
οὐδὲν ἔφη ἀπολελαυκέναι χεῖρον. ὑπεμνήσκε
γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν. θνη-
μενάν τοὺς ὄντας:— Ὦ τρισάθλιοι πάντες οἱ
δρου φυσῶντες ἐφ' ἑαυτοῖς μέγα. αὐτοὶ γὰρ οὐ-
κ ἴσασιν ἀνου φύσιν:—

ρκε

## Περὶ φιλαυτίας:—

εὐαγ Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν. ϛ
ὁ μισῶν αὐτὴν ἐν τῷ κόσμῳ τούτῳ. εἰς
ἀπο ζωὴν αἰώνιον φυλάξει αὐτήν:— Οὐ γὰρ
ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνος ἐστὶ δόκιμος.
ἀλλ' ὃν ὁ Κς συνίστησιν:— Οἱ πάντες
τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χῦ:—
σο Ἐγκωμιαζέτω σε ὁ πέλας. ϛ μὴ τὸ σὸν στό-
μα. ἀλλότριοι. ϛ μὴ τὰ σὰ χείλη:—
θεο Πάντων μὲν ἀσυνετώτατος ὁ ἕτοιμος, τοῦ καταγινώ-
σκειν ἀλλήλων ἀσυνεσίαν. οἱ τῶν μὲν ἰδίων,

πρᾶοι κριταί· τῶν μὲν ἀλλοτρίων. ἀκριβεῖς
ἐξετασταί:— σπεύσωμεν ἀλλήλοις πνικῶς·
γενώμεθα φιλάδελφοι μᾶλλον. ἢ φίλαυτοι:—

μαξίμ· φιλαυτία ἐστίν. ἡ τοῦ σώματος ἄλογος φιλία·
ἐξ αὐτῆς δὲ τίκτεται. ὁ τῆς γαστριμαργίας
λογισμός. καὶ ὁ τῆς κενοδοξίας· ἐκ δὲ τούτων
τίκτεται. ἅπας ὁ τῶν κακῶν κατάλογος:—

κριτίου· ἀγαθοὶ δὲ τὸ κακὸν ἐν μὲν ἑτέρῳ ἰδεῖν· αὐτοὶ
δὲ ὅταν ποιῶμεν. οὐ γινώσκομεν:—

σωκρά τους· Οὐδεὶς ἑαυτοῦ τὸ κακὸν συνορᾷ· ἑτέρου δ' ἀσχη
μονοῦντος. σαφῶς ὄψεται:— ·· — ·· — · — ·×

### ρκ̃ς περὶ πολυπραγμοσύνης καὶ ἀπραγμο σύνης. καὶ ἡσυχίας· καὶ ὅτι τὸ ἠρεμεῖν. τὴν τοῦ θυ̅ γνῶσιν προξενεῖ:—

Βασιλεί ων· ἐνδοξάσθη τι. καθήμενος ἐν τῷ οἴκῳ σου:—

σολ̃ ἀνὴρ φρόνιμος. ἡσυχίαν ἄγει:— ἰσχυρότερά
σου μὴ ζήτει. καὶ βαθύτερά σου μὴ ἐρεύνα·
ἃ προσετάγη σοι. ταῦτα διανοοῦ· τὰ γὰρ
πλείονα τῶν ἔργων αὐτοῦ. ἐν ἀποκρύφοις:—

ἱερεμ πρ̅ μὴ ἐκπορεύεσθε εἰς ἀγρόν· καὶ ἐν ταῖς ὁδοῖς
μὴ βαδίζητε· ὅτι ῥομφαία τῶν ἐχθρῶν.
παροικεῖ κυκλόθεν:—

εὐαγγ μάρθα μάρθα· μεριμνᾷς καὶ τυρβάζει περὶ
πολλά. ἑνὸς δέ ἐστι χρεία:—

ἀπ̊ παρακαλῶ ὑμᾶς ἀδελφοί. περισσεύειν μᾶλ
λον καὶ φιλοτιμεῖσθαι· ἡσυχάζειν καὶ πράσσειν
τὰ ἴδια· καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν:—

Θ Βασι ῥάδιον ἑκάστῳ ὑμῶν πολυπραγμονεῖν τὰ ἀλλότρια. ἢ τὰ οἰκεῖα ἑαυτοῦ διασκέπτεσθαι :—

Πολλοὶ μὲν τὸ κάρφος. τὸ ἐμ τῷ ὀφθαλμῷ τοῦ
ἀδελφοῦ καταμωμοῦσι. τὴν δὲ ἐμ τῷ οἰκείῳ
ὀφθαλμῷ δοκὸμ. οὐκ ἐμμελετῶσιμ :—

Ὥσπερ γὰρ τὰ θηρία εὐκαταγώνιστά ἐστι κατα-
τηχθέντα. οὕτως ὀργαὶ καὶ φόβοι καὶ λῦπαι
τὰ ἰοβόλα τῆς ψυχῆς κακά. καταμαλθέν-
τα διὰ τῆς ἡσυχίας καὶ μὴ ἐξαγριούμενα
τοῖς συνεχέσιν ἐρεθισμοῖς. εὐκαταγωνιστότερα
τῇ δυνάμει τοῦ λόγου γίνεται :— τὸ ἀπεσχι-
σμένον καὶ ἰδιάζον. τοῦ κοινωνικοῦ καὶ ἡνω-
μένου τοῖς πολλοῖς. προτιμότερον :— ἡσυχία.
ἀρχὴ καθάρσεως τῇ ψυχῇ :— . μόνος μὲν
γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω. μὴ δὲ ὑπὸ
τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος,
ἐπάνεισι μὲν πρὸς ἑαυτόν. δι' ἑαυτοῦ δὲ, πρὸς
τὴν περὶ θεοῦ ἔννοιαν ἀναβαίνει. κἀκείνῳ
τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπό-
μενος. καὶ αὐτῆς τῆς φύσεως λήθην λαμ-
βάνει. μήτε πρὸς τροφῆς φροντίδα.
μήτε πρὸς περιβολαίων μέριμναν τὴν
ψυχὴν καθελκόμενος. ἀλλὰ σχολὴν ἀπὸ
τῶν γηΐνων φροντίδων ἄγων. τὴν πᾶσαν
ἑαυτοῦ σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰω-
νίων ἀγαθῶν μετατίθησιν. πῶς κατορθοῦ-
σιν αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία. πῶς δὲ
ἡ δικαιοσύνη καὶ ἡ φρόνησις. καὶ αἱ λοιπαὶ ἀρεταί :—

νυς. Ἡ ἀπράγμων ἡσυχία. τῆς ἐμ πράγμασι περιφα-

ΝΕΙ μείας τιμιωτέρα :— ὡς ἥσυχιος·
χρημάτων πολλῶν περιφανέστερος :—
Ἐπίπονος τοῖς νέοις ἀποτασσομένοις
ἡ ἡσυχία· τότε γὰρ καιρὸν μάλιστα ἡ
μνήμη. πᾶσαν ἀνακινεῖ τὴν ἀρχομένων
ἀκαθαρσίαν· οὐ σχολάζουσα πρότερον
τοῦτο ποιεῖν. διὰ τὸ πλῆθος τῶν περι
σσῶν τῶν πραγμάτων :— ὑγιαίνων
νοσεῖ πᾶς περίεργος. ὁ τὰ ἀλλότρια
πολυπραγμονῶν :— ··· — ··· — ··· — ·· ※

ΕΥΚΛΕΙΔΟΥϹ·

ρκζ

## Περὶ συνοχῆς πραγμάτων. καὶ περισπασμοῦ :—

Ἰὼβ· Πᾶς ὁ βίος ἀσεβοῦς, ἐν φροντίδι :— τῷ
ἁμαρτάνοντι. ἔδωκε περισπασμὸν
τοῦ προσθεῖναι. καὶ τοῦ συναγαγεῖν :—

☧ Καρδία πονηρὰ, βαρυνθήσεται πόνοις :—
Ψυχὴ οὖν μὴ τῶν κοσμικῶν καμάτων ἀπαλλαγεῖσα
φροντίδων· οὔτε τὸν θεὸν ἀγαπῆσαι γνησίως.
οὔτε τὸν διάβολον [illegible] ἀξίως·
Κ[illegible] γὰρ ἀπο[illegible] φορτικὸν. τὴν μέ

Κυρίλλου· ριμναν τοῦ βίου :— ἐν θορυβουμένῳ
καὶ φωνίας ἔχοντι νῷ· οὔτε ἐμμονή τις
τῶν καλῶν. οὔτε θεοῦ χάρις ἐμμένει :—
Χωρὶς ἀμεριμνίας, φῶς ἐν τῇ ψυχῇ σου
μὴ ζητήσῃς :— [illegible] ἢ ς
πᾶν [illegible] ἄρτον. ἐν πε[illegible]μένοις μέ
σοι τὸ καλόν :— ··· — ··· — ··· — ·· ※

ρκη

## Περὶ παρρησίας καὶ τοῦ ἐλέγχειν :—

εὐαγ Οὐδεὶς ἐν κρυπτῷ τί ποιεῖ· καὶ ζητεῖ αὐτὸ ἐν παρρησίᾳ εἶναι :—

ἀπο ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν· παρρησίαν ἔχομεν πρὸς τὸν θν̄ :—

Βασι μὴ πικρὸς ἐν ἐπιτιμήσεσι γίνου· μηδὲ ταχέως μηδὲ ἐμπαθῶς ἐξελέγχων· αὐθάδες γὰρ τὸ τοιοῦτον· μηδὲ ἐπὶ μικροῖς καταδικάζων. ὡς ἀκριβοδίκαιος αὐτὸς ὑπάρχων· τοὺς ἐν παραπτώματι προσλαμβανόμενος· καὶ πνικῶς καταρτίζων αὐτούς. ὡς ὁ ἀπόστολος παραινεῖ· σκοπῶν σεαυτόν. μὴ καὶ σὺ πειρασθῇς :—

χ ἔννομος ζωή, παρρησίας δημιουργός :—

Ἰσο κρα Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν· ἵνα περὶ ὧν ἀμφιγνοεῖς. ἔχῃς τοὺς συνδοκιμάσοντας :— Οὐ τὸ μάχαιραν, ἀμυμίαν. οὐ τὸ παρρησίαν ἄτακτον ἐχηνδεῖ :— ⁝ — ⁝ — ⁝ —·—·—

ρκθ ς̈

## Περὶ εὐγενείας καὶ δυσγενείας :—

εὐαγ Τὸ γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνς :—

ἀπο Οὐ τὰ τέκνα τῆς σαρκός. ταῦτα τέκνα θῦ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, λογίζεται εἰς σπέρμα :—

σιράχ τέκνα ἐν ἀγαθῇ ζωῇ τὴν ἀναστροφὴν ἔχοντα. τῶν ἰδίων γεννητόρων κρύψουσι δυσγένειαν :—

Βασι Οὐκ ἔχομεν πρᾶγμα μέγα ἐν προγόνοις περι

φανείς· ὁ γὰρ τῆς ἀληθείας νόμος. ἴδια
ἑκάστου ἀπαιτεῖ τὰ ἐγκώμια:—
ΘΕΟ Κακὸς δ' ἀκούων αἰσχύνου. μὴ δυσγενής:—
⳨ λαμπρὸν καὶ ἐπίσημον· οὐ περιφάνεια προ
γόνων. ἀλλὰ τύχης ἀρετὴ ποιεῖν εἴωθεν:—
ΕΥΡΙπ Οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα. τὸν
γὰρ κάκιστον. πλοῦτος εἰς πρώτους ἄγ(ει)· ὅ
ταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς.
ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους:—
φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχ(ει)· οὐκ ἂν
γένοιτο χρηστὸς, ἐκ κακοῦ πρς:—
ΘΕΟπ Εὐγενεῖς εἶναι νόμιζε. μὴ τοὺς ἐκ τῶν καλῶν
καὶ ἀγαθῶν γεγενημένους· ἀλλὰ τοὺς καλὰ
καὶ ἀγαθὰ προαιρουμένους:— Ἐστὶ
ΘΕϹΠΙΔΟΥϹ προγόνων εὐγένεια. μὴ δέ σ' ἐγκαυχάσθω.
πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπά
τορας· ϛ οἱ μὲν πορφύραι καὶ μάταιοι τρεφόμε
νοι. ϛ οἱ δὲ πενίας ἀπάταις δαπανώμενοι:—
πολλοῖσι θνητῶν. ἡ μὲν ὄψις. εὐγενής· ὁ νοῦς
δ' ἐν αὐτῇ. δυσγενὴς εὑρίσκεται:— τίς
κατόπτροις καὶ τυφλοῖς κοινωνίαι:—
ϹΩϹΤΡΑΤΟΥ Σώστρατος ὁ ἀθλητής. ὀνειδιζόμενος ὑπό
τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι. εἶπεν·
καὶ μὴν διὰ τοῦτο μᾶλλον ἄξιον θαυμά
ζεσθαι. ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται:—
ΦΑΛΑΡΙΔΟϹ Ὁ ἐξ ἀρετῆς γεννηθείς. ἐκεῖνος εὐγενὴς εἰ
κονίζεται:— ∴ — ∴ — ∴ — ∴ —

ρλ̃ϛ — ε π(ερὶ) ϹΥΝΗΘΕΙΑϹ ΚΑΙ ΕΘΟΥϹ:—

σο Χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος. ὡς νόμος
βασι ἐφυλάχθη:— Οὐδὲν οὕτως ἐστὶ τίμιον.
ὡς μὴ τῇ συνηθείᾳ τῆς ἀπολαύσεως εὐκατα-
φρόνητον γίνεσθαι· ἂν δὲ σπανία ἡ χρῆσις.
περισπούδαστος ἡ ἀπόλαυσις:—
Παλαιωθὲν γὰρ τραῦμα τυχὸν. καὶ κακοῦ
μενεῖ ἡ χρόνῳ ἐγκαταπαθεῖσα. δυσίατος ἐ-
στὶν ἢ καὶ παντελῶς ἀνίατος. ὡς τὰ πολλὰ
τῶν ἐθῶν. εἰς φύσιν μεθισταμένων:—
Ἔθους χωρισμὸς. καὶ τοῖς ἀλόγοις ἐστὶ δυσφο-
ρώτατος. καὶ ποτὲ εἶδον ἀλόγων ἐπιζώ-
τινας δακρύοντα. τοῦ συννόμου αὐτοῦ καὶ
θεο ὁμοζύγου τελευτήσαντος:— Ῥᾷον ἀπ' ἀρ-
χῆς μὴ ἐνδοῦναι κακίᾳ. ἢ προκαινοῦσαν
ἀνακόπται. καὶ φανεῖσαν ταύτης ἀνόθερον:—
Δικτύῳ κομίζειν ὕδωρ. καὶ πλίνθον πλύ-
νειν εὐπετές. ἢ κακίαν φυτευθεῖσαν χρόνῳ
πολλῷ ἐν ἀνου ψυχῇ. ἐκβαλεῖν δυνατόν:—
Χρ Οὐδὲν οὕτως ἰσχυρὸν παρὰ ἀνοις. ὡς συνη-
θείας παλαιᾶς τυραννίς:— Τὴν δὲ
τῶν ἔξωθεν. δευτέραν φύσιν τὴν συνήθειαν ἐκάλεσε:—
νει Δεῖ μόνην ἡ συνήθεια κατασχεῖν πρὸς ἑαυτήν.
καὶ μὴ συγχωρῆσαι πάλιν διαμαρτῆναι. ἐπὶ
τὴν πρὸς τὴν ὄψιν τῆς ἀρετῆς:—
φιχ. Ἐγχρονίζον ἔθος. φύσεως κραταιότερόν ἐστιν.
καὶ μικρὰ μὴ κωλυόμενα ἁμαρτήματα. φύε-
χαρι ται καὶ ἐπιδίδοται πρὸς μέγεθος συναυξάνοντα:—
κλειας πάθος γὰρ ἅπαν. τὸ μὲν ἐξ ἔθους γινωσκόμενον.

ὁμοιωθῇ τὸ μέν· τὸ δὲ χρόνῳ παραπεμπό-
Χωρικίου μενον, ἔσται ἀμίαντον:— λαμβανομένη ἡ ἀπὸ
τῆς παιδείας ἡ φύσις, μόνως εὐθετεῖ πρὸς
Μενάνδρου πόνους χωρεῖν:— ἀμήχανον μακρὰν
συνήθειαν, ἐν βραχεῖ λῦσαι χρόνῳ· τὸ
γὰρ σύνηθες, οὐδαμοῦ στερρότερον:—
ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν· ἀμελούμε-
νον δέ, τὴν ἰσχὺν μείζονα λαμβάνει:—
Ἰσοκράτους· μόνον ἀκροῦ, τὸ μέτριον· τοῦτον γὰρ ἡδίω,
ἡ συνήθεια ποιήσει:—

ρλα

## Περὶ συνειδήσεως:—

Ἐπικτήτου· παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς, παι-
δαγωγῷ παρέδοσαν ἐπιμελησόμενον πάντα-
χοῦ πρὸς τὸ μὴ βλάπτεσθαι· ἄνδρας
δὲ γενομένους, ὁ θεὸς παραδίδωσι τῇ ἐμ-
φύτῳ συνειδήσει φυλάττειν· ταύτης οὖν τῆς
φυλακῆς, μηδαμῶς καταφρονητέον·
ἐπεὶ καὶ θεῷ ἀπάρεστοι, καὶ τῷ ἰδίῳ
συνειδότι ἐχθροὶ ἐσόμεθα:—

ρλβ

## Περὶ ἐλευθερίας:—

Ἐπικτήτου· οὐδεὶς ἐλεύθερος ἑαυτοῦ μὴ κρατῶν:—
ἐλευθερία, ἀκρατῶς καὶ ἀμέτρως φερο-
μένη, ἀναφαίρετος:— ἐλεύθερον ἀ-
δύνατον εἶναι, τὸν πάθεσι δουλεύοντα
καὶ ὑπὸ παθῶν κρατούμενον:—
Δημοκράτους· ἄμεινον δουλεύειν ἐπιεικῶς, ἢ ἐλευθε-
ριάζειν ἀναισχύντως:—

ρλγ

## Περὶ χρηστότητος:—

εὐαγ ἀγαθοποιεῖν τε καὶ δανείζειν μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς:—

ἀπο Γίνεσθε εἰς ἀλλήλους χρηστοὶ καὶ εὔσπλαγχνοι:— ἐνδύσασθε σπλάγχνα οἰκτιρμῶν· χρηστότητα· ταπεινοφροσύνην· μακροθυμίαν· πραότητα:—

βασι τὸ κατ' εἰκόνα ἔχω, ἐν τῷ λογικὸς εἶναι· τὸ καθ' ὁμοίωσιν γίνομαι· ἐν τῷ χρηστὸς γενέσθαι:—

θεο ἀγαθὸν χρηστότητι νικᾶν θρασύτητα· καὶ ἐλεήμονας ποιεῖν τοὺς ἀδικοῦντας· οἷς καρτεροῦμεν πάσχοντες:—

πᾶσι μὲν ἴσω χρηστός· πλέον δὲ, τοῖς ἔγγιστα:— ζήτα θεοῦ σοι χρηστότητα· χρηστὸς ἔσῃ:— τί χρηστότητος δόγμα σωτηριωδέστερον· τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας· οἷος σεαυτῷ τοὺς δὲ τυγχάνειν θέλεις:—

Οὐκ εὐεργετῶν μόνον ἀλλὰ καὶ κολάζων· ἀγαθός ἐστι καὶ φιλάνθρωπος ὁ θεός· καὶ γὰρ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι· μεγίστης εὐεργεσίας μέρος εἰσίν· ἐπεὶ καὶ ἰατρὸς οὐχ ὅταν εἰς παραδείσους καὶ λειμῶνας ἐξάγῃ τὸν κάμνοντα· οὐδ' ὅταν εἰς βαλανεῖα καὶ κολυμβήθρας ὑδάτων· ἀλλὰ καὶ ὅταν ἄσιτον κελεύῃ διαμεῖναι· ὅταν τέμνῃ· ὅταν πικρὰ προσάγῃ φάρμακα· τότε καὶ ἰατρός ἐστιν ὁμοίως· καὶ τελείαν αὐτοῦ φιλανθρωπίαν ἐπιδείκνυσι πλέον:—

νύσσης· Οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστὸς τρόπος
πείθειν δύναται:— Ὅισιν ὁ τρόπος ἐστὶν
ἄτακτος, τούτοις καὶ ὁ βίος συντέτακται:—

ποσιδίππου· Τὸ σχῆμα μὲν γνωρίμους ἐκ τῆς ὄψεως πολλούς·
διὰ δὲ τὸν τρόπον τοὺς πλείους φίλους:—

θεμιστοκλέους· Θεμιστοκλῆς χωρίον πωλῶν, ἐκέλευσε κη
ρύσσειν ὅτι καὶ γείτονα καλὸν ἔχει:— ¡¡¡ —×

ρλζ ς

ε Π πραΰτητος καὶ εὐλαβείας:—

λευϊτικόν· Εὐλαβεῖς ποιεῖτε τοὺς υἱοὺς ἰηλ:— Ὁ ἄνθρωπος
μωσῆς· πραῢς σφόδρα. παρὰ πάντας ἀνθρώπους
τοὺς ὄντας ἐπὶ τῆς γῆς:—

σολομ· Μακάριος
ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν· ὁ δὲ
σκληρὸς τὴν καρδίαν, ἐμπεσεῖται κακοῖς:—
Ἀπόκρισις ὑποπίπτουσα, ἀποστρέφει θυμόν:—
Ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν, ἐπι
γνώμων:— Λόγος μαλακὸς, συγκρα
μειόσαν:—

ἰωὴλ προφ· ἰωήλ:— Ὁ πραῢς, ἔστω μαχητής:—

δαυε· Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν:—

ἀπο· Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι
ἠρτυμένος· εἰδέναι πῶς δεῖ ἑκάστῳ:—

βασι· Πολιὰ γερόντων, πραότης:— Οὐδὲ μία
τῶν ἀρετῶν οὕτω πέφυκε τίκτειν σοφίαν,

θεολ· ὡς πραότης:— Καλοὺς ἀμείνους· τοὺς
κακοὺς περιφρόνει· ὅσ' ἂν καλοὺς καὶ τοὺς

δαρίον· δὲ ποικίλους χρόνους:— Ἦθος πραῢς, πολ
λὰ ὑποφέρει· ὁ μὲν τυχὸν δὲ γέροντα· τίς
ὑπίοι· Εἰδὼν ὁρμήλον γέροντα ἐπαιρόμε
νον ἐν θεῷ μετ' αὐτοῦ· ἐλπίδα μὲν τοι μᾶλλον

ἐχθρὸν ὄμβρος αὐτοῦ:— Φιλόσοφός τις ἔχων
μοχθηρὰν γυναῖκα καὶ φλύαρον καὶ πά
ροινον· πρὸς τοὺς ἐρωτῶντας τίνος ἕνε
κεν τοιαύτην ἔχων ἀνέχεται. εἶπεν· ὡς γυ
μνάσιον καὶ παράδειγμα ἔχειν φιλοσοφί
ας ἐπὶ τῆς οἰκίας· ἔσομαι γὰρ τοῖς λοιποῖς
πρᾳότερος φησίν· ἐν ταύτῃ καθ᾽ ἑκάστην
παιδευόμενος τὴν ἡμέραν· τινὲς δὲ καὶ
διὰ τοῦτο ἀγαπᾶσθαι αὐτὴν αὐτὸν μαρτυροῦσιν:—

ρλβ Περὶ ἁπλοῦ καὶ ἀκάκου
τὸν τρόπον:—

Γενέ Ἰακὼβ, ἦν ἄπλαστος οἰκῶν οἰκίαν:— Ὁ κ(ύριο)ς
Ἰὼβ οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον:— Φυ
Δα(υί)δ λασσε ἀκακίαν. καὶ ἴδε εὐθύτητα:— Κ(ύριο)ς
οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ:—
Παρ Ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς:—
Ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν κ(ύριο)ν:— Ἄ
Ὡσηέ κακος, πιστεύει παντὶ λόγῳ:— Καὶ ἦν Ἐ
φραὶμ, ὡς περιστερὰ ἄνοος μὴ ἔχουσα καρδίαν:—
Ματθ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις· καὶ ἀκέ(ραιοι):— Ὁ λύ
χνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός· ἐὰν
ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου:—
Βασι τὸ ἁπλοῦν καὶ ἄδολον τοῦ ἤθους. εὐκόλως ἐ
ξαγορεύει τὰ ἀπόρρητα τῆς ψυχῆς:— Ἀφύ
λακτον ἡ ἁπλότης· καὶ ἡ κακία ὑφορᾶται.
τὸ κακίας βάραθρον:— Τὸ δ' ἐκ κακίαν
οὐχ ἕτοιμον, οὐδὲ εἰς ὑπόνοιαν ἐχθρῶν:—
Χρυ Χαρακτηρίζει τὸν ἄκακον. ἡ ἁπλότης τρόπου:—

κυρίλλου· ἡ ἁπλότης τιμιωτέρα παρὰ θεῷ· τὸ γὰρ
πανοῦργον εἰ καὶ δεκτὸν ποτὲ ἦν τοῖς κατὰ
θεὸν σπουδάσμασιν, ἀλλ' οὐδαμῶς εἰς ἀρετῆς
εὐοδίαν καταλογισθήσεται:— ∴ — ∴ —※

ρλϛ περὶ πανούργου καὶ δολίου·
καὶ σκολιοῦ τὸν τρόπον:—

δαδ ἀνδρὸς αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμι-
σεύσωσι τὰς ἡμέρας αὐτ(ῶν):— σολ(ομῶντος) Διεστραμ-
μένη καρδία, τεκταίνεται κακά· ἐν παν-
τὶ καιρῷ ὁ τοιοῦτος, ταραχὰς συνίστη-
σι πόλει· διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώ-
λεια αὐτοῦ· ὅτι χαίρει πᾶσιν, οἷς μισεῖ ὁ θ(εό)ς:—
ἀνὴρ σκολιὸς, διαπέμπεται κακὰ καὶ διαχω-
ρίζει φίλους:— πρὸς τοὺς σκολιοὺς,
σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ θ(εό)ς:—
λόγοι κερκώπων μαλακοί· οὗτοι δὲ τύπτου-
σιν εἰς ταμεῖα σπλάγχνων:— ὁ σκο-
λιαῖς ὁδοῖς ἐμπορευόμενος, ἐμπλακήσεται:—
βασι(λείου) δόλος ἐστὶ, τὸ ἐκ κακίας πρὸς ἐπιβουλὴν
περίεργον· ὅταν τις ἀγαθὸν τὸ σχηματι-
σάμενος· καὶ τοῦτο ὡς ἐκ δεξιᾶς τῇ προ-
θέσει, διὰ τούτου τὰ τῆς ἐπιβουλῆς κατερ-
γάσηται:— λανθάνουσα πονηρία.
τῆς προκεκρυμμένης φανερωτέρα:—
φίλωνος Οἱ σχιστοὶ οὐ προσβάλλ(ουσι) τῶν τὰς φύσεις στερεμ-
νικῶν, πανουργίαις τὰς ἐπιβουλὰς κα-
τορθοῦσιν:— ∴ — ∴ — ∴ — ∴ —※

ρλζ περὶ καρδίας καθαρᾶς, καὶ τῶν λογισμῶν
καὶ συνειδὸς καθαρὸν ἐχόντ(ων):—※

σολ° Κτῆμα τίμιον, ἀνὴρ καθαρός :— πάσῃ
φυλακῇ, τήρει σὴν καρδίαν· ἐκ γὰρ ταύτης
ἔξοδοι ζωῆς :— λογισμοὶ δικαίων, κρίματα :—
Ὁδοὶ ζωῆς, διανοήματα σοφοῦ :— περιπά-
τει ἐν ὁδοῖς καρδίας σου ἄμωμος :— μακά-
ριος, οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ :—
ἀπ° Ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν,
παρρησίαν ἔχομεν πρὸς τὸν θ(εὸ)ν· ὃ ἐὰν αἰ-
βασι τῶμεν λαμβάνομεν :— Πρῶτον μα-
καριστόν, τὸ ἐν τῇ διανοίᾳ ἡμῶν καθα-
ρόν· ὥσπερ δὴ ῥίζα τῶν διὰ τοῦ σώματος ἐ-
νεργειῶν, τὸ ἐν καρδίᾳ βούλευμα :—
Καθαρὸς τῇ καρδίᾳ ἐστίν, ὁ μὴ λαμβανό-
μενος ἑαυτοῦ· ἐπεὶ ἐν τῷ μὴ θ(εο)ῦ ἀληθείᾳ :—
χρ Οὐδὲν οὕτως ἡμᾶς εὐφραίνειν εἴωθεν,
ὡς συνειδὸς καθαρὸν καὶ ἐλπίδες ἀγαθαί :—
Τὸ συνειδὸς ἀγαλλόμενον, συγκαλλωπίζει ἑ-
αυτῷ καὶ τὸ πρόσωπον· καὶ ἀρδεύει τὰς παρει-
άς, ἡ τῆς ψυχῆς εὐρωστία :—
κλη^μ Οὐχ ἡ τῶν πράξεων ἀποχὴ δικαιοῖ τὸν πιστόν,
ἀλλ' ἡ τῶν ἐννοιῶν ἁγνεία καὶ εἰλικρίνεια :—
ἰωσή^π Οὐκ ἐκριζωτὴς τῶν παθῶν, ἀλλὰ ταμι-
φίλω ας ἐστὶν ὁ λογισμός :— Οἶκος θ(εο)ῦ, σοφοῦ
διάνοια :— — — — — *

ρλη Π^ε καρδίας πονηρᾶς· καὶ συνειδότος κακοῦ· καὶ λογισμῶν :—

σο Ὁ σκληροκάρδιος, οὐ συναντᾷ ἀγαθοῖς :—
Ὁ μωρός, μωρὰ λαλήσει· καὶ ἡ καρδία αὐτοῦ, μά-
ταια νοήσει :—

σκολιοὶ λογισμοὶ, χωρίζουσιν ἀπὸ θεοῦ:— καρ
δία σκληρὰ, βαρυνθήσεται πόνοις:—

θεολ ὃ γὰρ ποτὲ αἰσχρὸν ἐννοῶν· νόμιζε πάντως
παρεῖναι· καὶ σεαυτὸν ἐντρέπου:—

νύσσης τὸ γενέσθαι κακὸν, ἐν τῷ προβλέψασθαι μόνον
ἀπόκειται· καὶ ἤρκεσε πολλάκις πρὸς
τελείωσιν κακίας ὁ λογισμός:—

κυρίλλου· ἡ ἁμαρτία οὐκ ἐν μόναις ἂν γένοιτο ταῖς ἐπιθυ
μίαις, ἀλλ' ἐν ταῖς ἐκ καρδίας τῶν ἀνθρώπων ἐνθυμήμασι:—

φίλωνος τῷ μὲν ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι
συγγνώμη παρεισέρχεται· ὁ δὲ ἐξ ἐπιβουλῆς
ἀδικῶν, ἀπολογίαν οὐκ ἔχει· προεαλωκὼς ἐν
τῷ συνειδότος δικαστηρίῳ:—

ρλθ περὶ ὑπομονῆς καὶ μακροθυμίας:—

ἰώβ· ς ἐὰν ὑπομείνῃς, ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς:—

σολομ· μακρόθυμος ἀνὴρ, κατασβέσει κρίσεις· ὁ δὲ ἀσε
βὴς ἐγείρει μᾶλλον:— μακρόθυμος ἀνὴρ,
πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρὸς ἄφρων:—

σιράχ τέκνον· εἰ προσέρχῃ δουλεύειν τῷ κυρίῳ, ἑτοίμα
σον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον αὐ
τὴν καὶ καρτέρησον:— ἐν μακροθυ

λουκᾶ μίᾳ, φθέγγου ἀπόκρισιν:— ἐν τῇ ὑπομονῇ
ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν:—

ἀπο πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί μου ἀγαπητοί,
ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις:—
μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν· ὅτι δό
κιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζω
ῆς· ὃν ἐπηγγείλατο ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν:—

Βασι Οὐ γὰρ ὁ ἀπορῶν τῶν ἀναγκαίων καρτερικός· ἀλλ᾽ ὁ ἐν ἀφθονίαι τῆς ἀπολαύσεως, ἐγκαρτερῶν τοῖς δεινοῖς:— σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς· γενναίων δὲ καὶ φιλοσόφων, τὸ ἐμπεσόντας φέρειν γενναίως:—

Θεο Βελτίων τοῦ ταχ[illegible] ἡ μακροθυμία, καὶ τῆς αὐθαδείας ἡ συγκατάβασις:— ἀγαθὸν χρηστότης· μὴ κἂν θρασύνηται· καὶ βελτίους ποιεῖν τοὺς ἀδικοῦντας, οἷς καρτεροῦμεν πάσχοντες:— Οὐδὲν ἰσχυρότερον, τῶν πάντα φέρειν ἑτοίμων:— ἀλγοῦσι καὶ οἱ τῷ κόσμῳ προσεσχηκότες· καὶ πολλῷ πλέον τῶν τῷ θεῷ δουλευόντων· ἀλγοῦμεν δὲ καὶ ἡμεῖς· ἀλλ᾽ ἄμισθος αὐτοῖς τὸ ἀλγεῖν· ἡμῖν δὲ καὶ τὸ πάσχειν ἔμμισθον, ὅταν διὰ τὸν θεὸν καρτερῶμεν:—

⚹ Καθάπερ τοῖς μὲν νοσοῦσιν ἡ τοῦ θεοῦ μακροθυμία ὠφέλιμος, οὕτω τοῖς ἀνενδότοις καὶ σκληροῖς μαζόμενον(?) γίνεται κολάσεων πρόφασις:— Ἔθος τῷ θεῷ, μὴ ἐκ προοιμίων τὰ δεινὰ καταλύειν:— Ὅταν τις ἐπηρεάζῃ, μὴ πρὸς αὐτὸν ἴδῃς· ἀλλὰ πρὸς τὸν κινοῦντα δαίμονα· καὶ τὴν ὀργὴν ἅπασαν κατ᾽ ἐκείνου κένωσον· αὐτὸν δὲ καὶ ἐλέει τὸν ὑπ᾽ ἐκείνου κινούμενον:— Οὐ γὰρ τὸ ποιῆσαί τι χρηστὸν μόνον· ἀλλὰ καὶ τὸ παθεῖν τι κακὸν, πολλὰς ἔχει τὰς ἀμοιβάς· καὶ δὴ κ[illegible]· ἀπὸ τῶν παθημάτων μᾶλλον, ἢ ἀπὸ τῶν κατορθωμάτων ἐδοκίμησας:—

ὅπερ γὰρ ἂν πάθωμεν ἀδίκως παρ' ὅτου
οὖν, ἢ εἰς ἁμαρτημάτων διάλυσιν ὁ θεὸς
ἡμῖν λογίζεται τὴν ἀδικίαν ἐκείνην. ἢ
Γλύκωνος. εἰς μισθῶν ἀντίδοσιν:— γνῶσις θεοῦ,
διὰ μακροθυμίας καὶ πραότητος εἰς
Μητρόδωρον ἄνδρα λογίζεται:— μὴ ζήτει γί-
νεσθαι τὰ γινόμενα ὡς θέλεις· ἀλλὰ θέ-
λε, ὡς ἂν τὰ γινόμενα γίνηται:—
Τὸ τῶν ἀδικουμένων ἡσύχιον, τοῖς ἀδι-
κοῦσι γίνεται διατροπή:— ss—ss—s—*

ρμε ϛ

## Περὶ τῶν μὴ ὑπομενόντων.
## ἀλλ' ὀλιγοψυχούντων:—

σο Ὀλιγόψυχος, ἰσχυρὸς ἄφρων:— ὀλιγόψυχον
ἄνδρα, τίς ὑποίσει:— οὐαὶ ὑμῖν
τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν· καὶ
τί ποιήσετε, ὅταν ἐπισκέπτηται ὁ θεός:—
Βασι Ἐὰν ὀργισθῇς κατὰ τοῦ λοιδορήσαντος,
ἐνεδείξω σεαυτὸν ὁμοειδῆ· τί γὰρ ὀργίζῃ
ἄφρον ἕτερον· ἐὰν δὲ μείνῃς ἀόργητος,
κατῄσχυνας τὸν ὑβρίσαντα. ἔργῳ τὴν
σωφροσύνην ἐπιδειξάμενος:—
ΝΕΙ Τὸ ὀλιγωρεῖν καὶ μὴ θέλειν ὑπομένειν
συμφοράς, μαλακίας καὶ ποικίλης ἀφρο-
σύνης ἴδιον:— sss—sss—sss—s—s—*

ρμϛ ϛ

## Περὶ πολιτείας σεμνῆς
## καὶ ὑπακοῆς:—

εὐαγ Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· ὀφθαλ-
μὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος

τος; ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ
πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει εἰς τὴν δε :—

Ἀπο Πάντα ποιεῖτε, χωρὶς γογγυσμῶν καὶ δια
λογισμῶν· μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξ :—

Σο Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν· τὰ δὲ
βλέφαρά σου, νευέτω δίκαια :—

Βασι Μάθε ἀπε· διδάχθητι τὴν ἀγγελικὴν
πολιτείαν· ὀφθαλμῶν ἀκρίβειαν· γλώσσης
ἐγκράτειαν· σώματος δουλαγωγίαν· φρόνη
μα ταπεινόν· ἐννοίας καθαρότητα· ὀργῆς
ἀφανισμόν· ἀγγαρευόμενος προστίθει· ἀπο
στερούμενος μὴ δικάζου· μισούμενος ἀγά
πα· διωκόμενος ἀνέχου, βλασφημούμε
νος παρακάλει :— Πανταχοῦ πά

⁕ ρεστιν ὁ θεός· πάντα ἀκούει· πάντα ὁ
ρᾷ· οὐ τὰ πραττόμενα μόνον καὶ λεγόμενα,
ἀλλὰ καὶ τὰ ἐν καρδίαις ἅπαντα· καὶ
τὰ ἐν τῷ βάθει τῆς καρδίας· κριτι
κὸς γάρ ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν

Γερόντ καρδίας :— Ὑπακοὴ μετὰ ἐγκρα
τείας, ὑποτάσσει καὶ θηρία :— ··—··—×

ρμε Περὶ πολιτείας ψεκτῆς· καὶ
ἀνηκόων καὶ ἀνυποτάκτων :—

Σο Ἐπειδὴ οὐκ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς·
ἐμυκτήρισαν δὲ ἐμοῖς ἐλέγχοις· τοιγα
ροῦν, ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς
καρπούς· καὶ τῆς ἑαυτῶν ἀσεβείας,

Ἱερεμ πλησθήσονται :— Τῷ λαῷ τούτῳ ἐ

γόμενοι καρδία ἀνήκοος καὶ ἀπειθής. πάντες ἀνήκοοι. πορευόμενοι σκολιῶς:—

πρὸς τίνα λαλήσω καὶ διαμαρτύρομαι καὶ ἀκούσεται. ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶμ ϗ οὐ δύνανται ἀκούειν:—

ἰεζε κιηλ· τάδε λέγει κς· ὁ ἀκούων μου ἀκουέτω, καὶ ὁ ἀπειθῶμ ἀπειθείτω:—

βασι Ὅπου ἔχθραι· ἔρεις· θυμοί· φιλονεικίαι· θορυβώδεις ἀσιγή τοῖς ταῖς τεχναῖς ἐμποιοῦσι, ἐκεῖ τὸ πνεῦμα τῆς πραότητος

θεο οὐκ ἂν ἀναπαύσαιτο:— Κρεῖσσον μοι μᾶλλον τιμωρηθῆναι παρὰ τοῦ ϗ δεσπότου.

ὁ ππι ἀνὸν· ἢ ἀπωσθῆναι:— ἀεὶ γὰρ ὁ ἀπειρίτων μόνος ἀνδρεῖον διόμαχος· οὐδ᾽ ἐθέλουσι καὶ ἀτρεκέσι πείθεσθαι:— ·· – ·· – · ×

ρμγ ϊ ϛ

## Περὶ ἀμοιβῆς τῶν ἐν καὶ κατ᾽ ἀρετὴν βιωσάντων. ἐν ἀπεράντῳ μακαριότητι:—

δαδ Δίκαιοι κληρονομήσουσι γῆν· ϗ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ᾽ αὐτῆς:—

τὸ δὲ ἔλεος τοῦ κυ ἀπὸ τοῦ αἰῶνος ϗ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν:—

σο Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται:— Δικαίων ψυχαὶ ἐν χειρὶ θῦ· καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος:—

Ἡσαΐ ου τάδε λέγει κς· ἰδοὺ οἱ δουλεύοντες μοι φάγονται· ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται· ὑμεῖς δὲ διψήσετε· ἰ

δοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται.
ὑμεῖς δὲ αἰσχυνθήσεσθε: —

σοφίας Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν κ̅ῷ̅
σολο ὁ μισθὸς αὐτῶν· καὶ ἡ φροντὶς αὐτῶν
παρὰ ὑψίστου· διὰ τοῦτο λήψονται τὸ
βασίλειον τῆς εὐπρεπείας· ϗ τὸ διά-
δημα τοῦ κάλλους ἐκ χειρὸς κ̅υ̅: —

σιράχ ἀγαθὰ τοῖς ἀγαθοῖς ἐκτίσθη ἀπ' ἀρχῆς: —

βασι πρόκειται ἀνάπαυσις αἰωνία. τοῖς νο-
μίμως τὸν ἐνταῦθα διαθλήσασι βίον: —

τῶν δικαίων ὁ στέφανος. ἡ τοῦ π̅ν̅ς̅ ἐστὶ
χάρις. δαψιλεστέρα τότε καὶ τελειοτέρα
παρεχομένη. κατὰ τὴν ἀναλογίαν τῶν
ἀνδραγαθημάτων, τῆς π̅ν̅ικῆς δόξης
διανεμομένης ἑκάστῳ. ἐν γὰρ ταῖς
λαμπρότησι τῶν ἁγίων. πολλαὶ μοναὶ
παρὰ τῷ π̅ρ̅ί· τουτέστιν ἀξιωμάτων
θεο διαφοραί: — οὐ γὰρ ὅ τις οὐ κολάσε-
ως ἄξιος. ἤδη καὶ τιμῆς· ὥσπερ οὐδὲ
ὅ τις οὐ τιμῆς, ἤδη καὶ κολάσεως: —

μάρ Εἰδέναι χρὴ ὅτι καὶ οἱ μερικῶς τὰς ἐν-
κου ἀ τολὰς ἐργασάμενοι. κατὰ ἀναλογίαν
εἰς τὴν βασιλείαν εἰσέρχονται. οἱ δὲ
βουλόμενοι εἰς τὸ τέλειον φθάσαι. ὀφεί-
λουσι περιεκτικῶς πάσας ἐργάσασθαι.
περιεκτικὴ δὲ πασῶν τῶν ἐντολῶν, ἤτοι
τελεία ἄρνησις. ὅ ἐστι θάνατος: — ∴ — ∴ — ✕

ρμα̃
ϛ Πε ἀμοιβῆς τῶν ἐν κακίᾳ καὶ ἀθέ-
σμως βιωσάντων: — ✕

ἰώβ ἐξαίσια πράγματα πονηρῶν:— Οἱ σπεί
ροντες τὰ ἄτοπα, ὀδύνας θερίσουσιν
σολο ἑαυτοῖς:— Ζωὴν ἀσεβῶν. ἁμαρε
τικός:— Διωγμὸς ἀσεβῶν εἰς θά
νατον:— Ἑτοιμάζονται ἀκολάστοις μά
στιγες:— Οἱ ἄνομοι διαπράσσονται ἀγαθά.
καὶ οὐκ εἰσπράσσονται εἰς αὐτά:— ἁμαρ
τάνοντας καταδιώξεται κακά:— Ἡ κα
ταστροφὴ τῶν παρανόμων κακή:—
ἀμώς Κατάρα κυ. ἐν οἴκοις ἀσεβῶν:— Στηρι
προφήτ ῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς κα
κά, καὶ οὐκ εἰς ἀγαθά:— Ἐξαρῶ τοὺς
σοφο ἀνόμους ἀπὸ τῆς γῆς, λέγει κσ παντοκράτωρ:—
νίου·
ἡσαΐ Ἰδοὺ ἡμέρα κυ ἔρχεται μετὰ θυμοῦ καὶ ὀρ
ου γῆς. θεῖναι τὴν οἰκουμένην ὅλην ἔ
ρημον. καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι
ἐξ αὐτῆς:— Οὐαὶ τῷ ἀνόμῳ. πονη
ρὰ κατὰ τὰ ἔργα αὐτοῦ συμβήσεται αὐτῷ:—
σιράχ Ἐν συναγωγῇ ἁμαρτωλῶν. ἐκκαυθήσε
βασι ται πῦρ:— Τοῖς τῆς ἁμαρτίας κα
μάτοις, τὸ τῆς γεέννης ἐπίπονον καὶ
σκυθρωπὸν ἀνταμείβει:— Ἕκαστος
τῆς οἰκείας ἐργασίας. ἐν ἡμέρᾳ
τῆς ἀνταποδόσεως. τοὺς καρποὺς ἐπιγνώσεται:—
θεο Βέλτιόν ἐστιν ἡμῖν παιδευθῆναι καὶ καθαρι
σθῆναι. ἢ ταῖς ἐκεῖθεν βασάνοις παραπεμ
φθῆναι· ἡνίκα κρίσεως καιρός, οὐ κα
θάρσεως:— Οὐ μόνον τῶν δικαίων ἀλλὰ

καὶ τῶν ἁμαρτωλῶν. ἄφθαρτα τὰ σώματα ἀμίαντα· ἀλλ' ἡ τιμὴ αὕτη τοῖς ἁμαρτωλοῖς. ἐφόδιον κολάσεως καὶ τιμωρίας γίνεται· ἄφθαρτα γὰρ ἀμίαντα. ἵνα διαπαντὸς καίωνται· ἔσω δὴ γὰρ τὸ πῦρ ἄσβεστον ἐστὶν ἐκεῖνο. τοιούτων αὐτοῖς δεῖ σωμάτων. μηδέποτε δαπανωμένων :—

Κυρίλλου· Ἐγειρόμεθα τοίνυν αἰώνια μὲν ἔχοντες τὰ σώματα. οὐ πάντες δὲ ὅμοια· ἀλλ' εἰ μέν τις ἐστὶ δίκαιος, λαμβάνει σῶμα ~~ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν·~~ π̅ν̅ικόν· ἵνα δύνηται μετὰ ἀγγέλων ἀναστρέφεσθαι ἀξίως. εἰ δέ τις ἁμαρτωλὸς ἐσται, λαμβάνει σῶμα ὑπομονητικὸν τιμωρίας ἁμαρτιῶν· ἵνα ἐν πυρὶ αἰωνίῳ καιόμενος. μηδέποτε καταναλωθῆ· καὶ δικαίως ἀμφοτέροις τοῖς τάγμασιν ὁ θ̅ς̅ παρέχει τοῦτο· οὐ γὰρ χωρὶς σώματος ἡμῖν πέπρακταί τι:—

ρμε ς̈

## Περὶ ἀποταγῆς. καὶ ὑποταγῆς. καὶ ἀσκήσεως:—

Βασι Χρὴ τοίνυν καθάπερ οἱ εἰς τὸ λουτρὸν εἰσιόντες γυμνοῦνται παντὸς περιβλήματος, οὕτως καὶ τοὺς τῇ ἀσκητικῇ προσερχομένους ζωῇ. πάσης κοσμωτικῆς γυμνωθέντας, ἐν τοῖς τοῦ

κατὰ φιλοσοφίαν γενέσθαι υἱοῦ:— ἡ ἀ
μέμπτως καὶ τελεία ὑποταγὴ τῶν ὑποχει
ρίων πρὸς τὸν καθηγούμενον ἐν τούτῳ
δείκνυται. ἐν τῷ μὴ μόνον τῶν ἀτόπων
κατὰ τὴν συμβουλὴν τοῦ προεστῶτος ἀ
πέχεσθαι. ἀλλὰ μὴ δὲ αὐτὰ τὰ ἐπαινετὰ
χωρὶς τῆς ἐκείνου γνώμης ποιεῖν· ἡ γὰρ
ἐγκράτεια καὶ πᾶσα ἡ σωματικὴ κακοπά
θεια. πρός τι χρήσιμος ἐστί· ἀλλ' ἐάν τις
ταῖς ἰδίαις ὁρμαῖς ἀκολουθῶν τὸ ἀρέσκον
αὐτῷ ποιῇ. καὶ συμβουλευθὲν τι τῷ προε
στῶτι μὴ πείθηται. μεῖζον τοῦ κατορθώ
ματος ἔσται τὸ πλημμελούμενον· ὁ γὰρ ἀν
τιτασσόμενος τῇ ἐξουσίᾳ. τῇ τοῦ θεοῦ δια
ταγῇ ἀνθέστηκεν· καὶ ὁ τῆς ὑπακοῆς μι
σθὸς. μεῖζον τοῦ κατὰ τὴν ἐγκράτειαν
ἐστὶ κατορθώματος:— ἀρετὴ ἀρχο
μένου καὶ τιμή. τὸ μένειν ἐπὶ τῆς ὑπακοῆς:—
τῶν πα τέρων· ὑπακοὴ μετὰ ἐγκρατείας. ὑποτάσσει καὶ
θηρία:— ἐὰν ἔχῃ τις πίστιν εἰς
τινὰ καὶ δίδωσιν ἑαυτὸν ὑποταγῆναι αὐ
τῷ. οὐ χρείαν ἔχει προσέχειν ἐντολαῖς θεοῦ.
ἀλλὰ τῷ πατρὶ αὐτοῦ συγχωρεῖν τὰ θελή
ματα αὐτοῦ. καὶ ἔγκλημα οὐκ ἔχει παρὰ θεοῦ:—
ἀνάπαυσον τὸν πατέρα σου· ἵνα ὅταν ἀποθνῄ
πρὸς κύριον παρακαλέσῃ ὑπὲρ σοῦ. καὶ εὖ σοι γένηται:—
Ζαχαρίου· σφόδρα ζημιοῦσιν οἱ δαίμονες, τοὺς ἐν ὑπο
ταγῇ πρὸς ἀπαρατάσσοντας. καὶ τρίζουσι κατὰ

τῶν τοῖς ὁδόν τας· ὅτι ἐν τῇ ὑποταγῇ·
τὴν ἀποταγὴν ἀμερίμνως ἐξήνυσαν·
καθ' ὧν ϗ προφάσεως ἀκριβολογοῦντες,
παροξυσμὸν ἀρτύουσιν· καὶ τῇ σημμαι μού
σιόργῃ· τὴν μῆνιν ἀλείφουσιν· ἕπεται
δὲ καὶ μῖσος πρὸς τὸν πρω τὸ κατ' ὀλίγον
ἐγοῦσιν· ὡς ἀπεδῆθεν ἀδίκως ἐπιτιμή-
γοντος· ϗ κατὰ πρόσωπον προσέχοντος·
ἵνα ἐκ διαφόρων τρόπων τὴν ψυχὴν περι-
τινάξαντες· τῶν πατρικῶν ἀγαθῶν
σκορπίσωσιν :— ∴ — ∴ — ∴ — ∴ — · ⁎

ρμα΄

Π$^{\varepsilon}$ προεστῶτος :—

Βασι ὑπόθυμος οὖν ἐστιν ὁ ἐφεστὼς τῇ ἀδελφότη-
τι· ἀγρυπνεῖν ὑπὲρ τῶν ψυχῶν αὐτῶν·
καὶ μεριμνᾶν τὰ πρὸς σορίαν αὐτῶν· ὡς
λόγον ἀποδώσων :— Χρὴ οὖν τὸν
προεστῶτα πεπεῖσθαι· ὅτι τὸ μὴ κατὰ
λόγον προστῆναι τοῦ ἀδελφοῦ, παρεῖναι αὐ-
τῷ καὶ ἀπαραίτητον τὴν ὀργὴν ἐπάγει·
τὸ γὰρ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν αὐ-
τοῦ ἐκζητηθήσεται καθὼς γέγραπται·
καὶ τὸν ὑπήκοον οὕτως παρασκευάζεσθαι·
ὡς πρὸς μηδὲν ἐπίταγμα μηδὲ τὸ χαλε-
πώτατον ἀποκνεῖν· πεπεισμένον. ὅτι ὁ
μισθὸς πολὺς ἐν τοῖς οὐρανοῖς :—

☧ Οὐκ ἐνθεόν. μόνον τα πρὸ καταμένειν :—
κεφαλῆς γὰρ κακῶς διακειμένης· μετα-
λαχεῖν ἀνάγκη τὸ σῶμα τῆς ἀσθενείας :—

μᾶλλον φέρει τοῖς ὑπηκόοις ὠφέλειαν. ἢ τοῦ προεστῶτος εὐλάβεια:—

Ὁ σεμνὸς καὶ ἀνεπίληπτος τῶν προεστώτων βίος. παίδευμα γίνεται τοῖς ὑποτεταγμένοις:—

* * *

### ρμζ Περὶ τῶν ἐν βρώμασι σκανδαλιζομένων. καὶ περὶ διαφορᾶς τραπεζῶν:—

Ἀπο(στόλου) Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει καὶ πόσει. ἢ ἐν μέρει ἑορτῆς:— Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ θεῷ· οὔτε γὰρ ἐὰν μὴ φάγωμεν ὑστερούμεθα. οὔτε ἐὰν φάγωμεν περισσευόμεθα:— Ἃ ὁ θ(εὸ)ς ἔκτισεν εἰς μετάληψιν, μετὰ εὐχαριστίας τοῖς πιστοῖς ἅπτεσθαι ἑκάστου χρή· πᾶν γὰρ κτίσμα θ(εο)ῦ καλόν. καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου θ(εο)ῦ καὶ ἐντεύξεως· ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται. ὅτι οὐκ ἐκ πίστεως:—

Βασι(λείου) Τράπεζαν ἢ δίαιταν οὐκ ἐδεσμάτων πολυτέλεια μόνον ποιεῖ, ἀλλὰ καὶ ἡ τῶν κεκλημένων ὄρεξις:— Οὐ τῇ φύσει τῶν ἐδεσμάτων· ἀλλὰ τῇ διαθέσει τῶν ἐσθιομένων. ἡ πολυτέλεια κρίνεται τῶν τραπεζῶν:— ψυχὴ γὰρ φησὶν ἡ παροιμία ἐν πλησμονῇ οὖσα, κηρίοις ἐμπαίζει· ψυχῇ δὲ ἐνδεεῖ, καὶ τὰ πικρὰ γλυκέα φαίνεται· οὐ τῆς φύσεως τῶν προκειμένων μεταβαλλομένης, ἀλλὰ τῆς δια

θέλοντος τῶν ἐπιφερομένων [illegible] τὴν
αἴσθησιν:— ὅτι ἐν πλήθει βρωμάτων καὶ
περιεργίαι πρὸς ἡδονὴν μετασκευάζων
τοὺς ἀδελφοὺς σου τὴν τράπεζαν. κατηγο-
ρεῖς αὐτοῦ φιληδονίαν. καὶ καταχεῖς
αὐτοῦ γαστριμαργίας ὁμειδῆ. ὧν κατα-
σκευάζεις· ἐλέγχων αὐτοῦ τὴν περὶ ταῦ-
τα ἡδυπάθειαν:— Καθόλου τὸ ἐπι-
ζητεῖν βρωμάτων. παρ' ὃν τρόπον ἐστί. τοῦ κυ
εἰπόντος. μὴ ζητεῖτε τί φάγητε. καὶ τί
πίητε. καὶ μὴ μετεωρίζεσθε· ταῦτα γὰρ
πάντα. τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ:—

ρμζ π(ερὶ) τοῦ μὴ σκανδαλίζειν
μήτε κρίνειν τινά:—

ματ Ἔδει παραδοθῆναι τὸν υἱὸν τοῦ θυ· ἀλλ' οὐ-
αὶ δι' οὗ παρεδόθη. καὶ τὰ σκάνδαλα
ἐλθεῖν ἀνάγκη. ἀλλ' οὐαὶ δι' οὗ ἔρχεται:—
Συμφέρει αὐτῷ εἰ μύλος ὀνικὸς περίκει-
ται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς
τὴν θάλασσαν. ἢ ὅτι σκανδαλίσῃ ἕνα
τῶν μικρῶν τούτων:— ἵνα δὲ μὴ
σκανδαλίσωμεν αὐτούς, βάλε ἄγκιστρον
εἰς τὴν θάλασσαν. καὶ τὸν ἀναβάντα:—
ρω Εἰ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται. οὐ-
κέτι κατὰ ἀγάπην περιπατεῖς:— Οὕτω
δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ
τύπτοντες αὐτῶν τὰς συνειδήσεις:—
ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ ἕλλησι.
καὶ τῇ ἐκκλησίαι τοῦ θυ:—

μὴ πρὸ καιροῦ τι κρίνετε. ἕως ἂν ἔλθῃ ὁ κσ·
ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους. ϗ
φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. τὰ
δὲ τοῦ θῦ κρίματα ἐκδικεῖν. ἀπαραίτητος
ἀνάγκη· ἵνα μὴ ἀπολαύσῃ τῆς ὀργῆς τοῦ θῦ
Θεοδ ὁ ἐφησυχάζων:- μὴ ταχὺς εἶναι εἰς
κρίσιν. ὑπὸ τῆς γραφῆς νενουθέτημαι:-
Πάντα τὰ τοιαῦτα πραττόμενα. ὥστε μὴ σκαν
δαλισθῆναι τὸν πλησίον· ὡς γὰρ κἂν σφό
δρα ὀρθὸς ᾖς. σκάνδαλον ἑτέροις παρέχων.
Δωροθέου· τὸ πᾶν ἀπολέσεις:- ὁ θέλων ἐλθεῖν
ἐπὶ τὴν ὁδὸν τῆς [illegible], ἀμεριμνίας ἀπὸ
παντὸς ἀνου τοῦ μὴ κρῖναι τινά· εἴτε κα
λός ἐστιν. εἴτε μή:- ... — ... — ... — ×

ὁμιλ ϛ περὶ ἀμελῶν καὶ ῥαθυμῶν· καὶ
ὅτι ἐὰν νήφωμεν. οὐδὲν ἡμᾶς
ὁ διάβολος βλάψαι δύναται:-

Βασι Καθόλου οὐ δύναταί τι αὐτὸς καθ᾽ ἑαυτὸν ὁ σατα
νᾶς, αἴτιος γενέσθαι τινὶ ἁμαρτίας οὐδ᾽:-
Ὁ διάβολος. ἑαυτῷ κακὸς οὐχ ἡμῖν· ἡμεῖς
γὰρ εἰ νήφομεν. καὶ πολλὰ καρπούμεθα
δι᾽ αὐτοῦ καλά· δεδοικότες γὰρ αὐτοῦ τὰς
ἐπιβουλάς. νήφομεν ϗ μένομεν ἤμεθα τοῦ διηνεκοῦς:-
Ὁ διάβολος ὅταν ἴδῃ ἑαυτὸν μὴ δὲ ἀμυνόμενον.
ἀφίσταται λοιπόν· δεδοικὼς μὴ πλειόνων
ὑμῖν στεφάνων. αἴτιος γένηται:-
Οἶδεν γὰρ ὁ πολυμήχανος καὶ διὰ χρηστῶν
πράξεων. τὸν ἑαυτοῦ παρασπείρειν ἰόν:-

Ἔθος τοῖς δαιμονίοις οὐ μόνον ἀλόγοις ὑπηρέταις· ἀλλὰ καὶ τοῖς πονηροῖς ἀνοις, ὀργάνοις πρὸς τὴν τῶν ὁμοφύλων αὐτῶν ἐπικουμένων κεχρῆσθαι:—

Καθάπερ κύων. οὕτως ἐνάλλεται τοῖς πταίουσιν ὁ διάβολος· ὥσπερ ἑτοιμὸν ἢ πρακόωντα. παιδίου κατέχοντος ἀποσπάσαι θέρμον:— οὐκ ἀνέτων καὶ ἀμερίμνων ἐστὶν ἡ βασιλεία τῶν οὐνῶν· ἀλλὰ βιαστῶν· βιασταὶ γὰρ ἁρπάζουσιν αὐτήν:—

Σκάμμα ἐστὶν ὁ παρὼν βίος· ἐν δὲ τῷ σκάμματι καὶ τοῖς ἀγῶσιν. οὐ δύναται ἀνέσεως ἀπολαύειν ὁ στεφανοῦσθαι μέλλων:—

Οὐδεὶς μὴ πληγεὶς ἐν ἀγῶσι μὴ δὲ κονισάμενος. στεφανοῦται:— μὴ ζητῶμεν ἄνεσιν· θλίψιν γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς ἐπηγγέλατο ὁ χσ:—

Οἱ τὰ μαλακὰ φοροῦντες. ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν· οἱ δὲ τὰ μὴ τοιαῦτα. ἐν τοῖς οὐνοῖς· τὸ γὰρ μαλακὸν ἱμάτιον. καὶ τὴν αὐστηρὰν ἐκλύει ψυχήν· διαλκμαί· διαχῇ· κἂν τραχὺ καὶ ᾖ σῶμα καὶ σκληρόν. ταχέως διὰ τῆς τρυφεραγωγίας. μαλακὸν ποιεῖ καὶ ἀσθενές· ἐξ οὗ καὶ αἱ ἐπὶ τῶν ἀγρῶν τρεφόμεναι γυναῖκες, τῶν ἀστικῶν ἀνδρῶν εἰσὶν ἰσχυρότεραι· τοῦ δὲ σώματος γινομένου μαλακωτέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς λύμης· τὰ γὰρ πολλὰ καὶ

σώματι ἀντιτίθενται αὐτῆς αἱ ἐνέργειαι· τῇ
τοῦ σώματος διαθέσει:— Τίς οὖν ὁ
τῆς κακίας δημιουργός· τίς δὲ ἄλλος, ἀλ-
λ' ἡ ῥᾳθυμία τῆς προαιρέσεως:—

εὐαγρί Τοῖς μὲν κοσμικοῖς οἱ δαίμονες διὰ τῶν
πραγμάτων παλαίουσι· τοῖς δὲ μοναχοῖς
ὡς ἐπὶ τὸ πλεῖστον διὰ τῶν λογισμῶν·
καὶ ὅσον εὐκολώτερον τὸ κατὰ διάνοιαν
ἁμαρτάνειν τοῦ κατ' ἐνέργειαν. τοσοῦτο
χαλεπώτερος ὁ κατὰ διάνοιαν πόλεμος.
τοῦ διὰ τῶν πραγμάτων συνισταμένου·
εὐκίνητον γάρ τι πρᾶγμα ὁ νοῦς. καὶ πρὸς
τὰς ἀνόμους φαντασίας δυσκάθεκτος:—

δωροθ Ἡ ἀμέλεια καὶ ἡ ἀμεριμνία καὶ ἡ ἀνάπαυσις.
χαυνοῦσι καὶ διαχέουσι τὴν ψυχήν· οἱ δὲ
πειρασμοὶ σφίγγουσιν αὐτὴν καὶ ἑνοῦσι
τῷ θεῷ· ὡς λέγει ὁ προφήτης· κε ἐν θλί-
ψει ἐμνήσθημέν σου:—

ἐμ
—— ... —— ... —— ... —— ... —— ... ——

θ ἰγνάτ Χρήζω πραΰτητος· ἐν ᾗ καταλύεται ὁ ἄρχων
τοῦ αἰῶνος τούτου διάβολος:—

θεολ Θῦ καὶ τῶν θείων ἄλλως, ὅσοι τὸ τῆς εἰρήνης
καλὸν ἀσπάζονται· τῆς δὲ ἀντικειμέ-
νης μερίδος. οἱ πολεμικοὶ τὸν τρόπον:—

εὐαγ Ἐχθροὶ τοῦ ἀνθρώπου, οἱ οἰκιακοὶ αὐτοῦ:— Ὁ πο-
νηρὸς ἄνθρωπος, ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς
καρδίας αὐτοῦ προφέρει τὰ πονηρά:—
Ἐκ τοῦ περισσεύματος τῆς καρ. λαλεῖ τὸ στόμα:—

νυσς Οὐδὲν οὕτως αἰσχύνην ποιεῖ, ὡς
ἰσηα πονηρὸν συνειδός:— Ἀεὶ κεφαλὰς ἀκμὴν
τυπτόμενος· μᾶλλον ἄθλει τοῦ ἐπιδέρε
βασι σθαι καὶ νικᾶν:— Ὁ τῆς ὑπακοῆς μι
σθὸς. μείζων τοῦ κατὰ τὴν ἐγκράτειαν
δωρο ἐπὶ κατορθώματος:— Ὁ κάμνων ἐπὶ
τὸν εἰς ὑπακοὴν πρὸς, ἀμεριμνίαν καὶ
βασι ἀνάπαυσιν ἔχει:— Πολλάκις ἀκρα
σία δήμου. τὸν χείριστον εἰς ἀρχὴν
προεστήσατο:— Οὐδεὶς ἐπὶ πλεῖ
ον κακίας προβαίνει δυνάστης. ἐὰν μὴ
τοὺς ὑπηρετήσοντας ἔχῃ ταῖς ἐπιθυμίαις:—
⳩ Τοὺς τῇ ἱεροσύνῃ τετιμημένους. θεοὺς
ὁ νόμος καλεῖ. θεοὺς οὐ κακολογήσεις. καὶ
ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς:—
ἱερε Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. καὶ μὴ ἀξί
ου ἐλεηθῆναι αὐτούς. ὅτι οὐκ εἰσακούσομαί σου:—
⳩ Οὐ τοῖς ἀνάγκῃ τῆς κακίας ἀπεχομένοις. ἀλ
λὰ τοῖς προαιρέσει τὰ στέφανα ὁ θεός:—
Οὐκ ἀνάγκῃ καὶ βίᾳ. ἀλλὰ ἑκουσίας καὶ γνώ
μῃ προσάγεσθαι ἡμᾶς ὁ θεός:— Τὸ ἐκ
φύσεως ἀγαθὸν ἀδόκιμον. τὸ δὲ ἐκ προ
αιρέσεως ἐπαινετόν:— Οὐ τοσοῦτον ἐρ
γάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται ἔργον:—
δεῖ τιμᾶν ἀρετήν, καὶ κολάζειν κακίαν:—
βασι Οὐδενὸς ἀνθρώπων ὅμοιος ὅλου μακάριος. τὸ
διατάσσειν τοῖς ἄλλοις πράττειν. μόνου θεοῦ:—
νει Θρήνησον τὸν ἁμαρτωλὸν ἐκθηγόμενον. τὸ ξίφος

πλούτ γὰρ αὐτοῖς τῆς δίκης ἐπιτείνεται:— ἀτυ
χίαν κρύπτε. ἵνα μὴ τοὺς ἐχθρούς σου εὐφράνῃς:—
Χρ Καιρὸς ἀθυμίας οὐχ ὅταν πάσχωμεν κακῶς.
ἀλλ᾽ ὅταν δρῶμεν κακῶς:—
μάρκου ἐκφεύγει ἁμαρτίας, ὁ παρὰ ἀνθρώπων ἀδικούμε
νος· καὶ ὁμοίαν τῆς θέμιδος εὑρίσκει ἀντίληψιν:—
Ὁ ποιήσας ἐντολήν, ἐκδεχέσθω τὸν ὑπὲρ αὐτῆς
πειρασμόν· ἡ γὰρ εἰς Χ(ριστὸ)ν ἀγάπη, διὰ ἐναντίων
ἐπικτήτου δοκιμάζεται:— Ἐπίκτητος ἐρωτηθεὶς
πῶς ἄν τις τὸν ἐχθρὸν λυπήσῃ. ἔφη· ἑαυ
τὸν παρασκευάζων κάλλιστα πράττειν·
εἰ γὰρ ἵππους ἐχθρῶν ὁρῶντες εὐδοκιμοῦν
τας ἀνιῶνται καὶ κύνας εὐφημουμένους.
τί οἴει τούτους παθεῖν. εἰ σεαυτὸν ἐπιδεί
ξεις ἄνδρα δίκαιον καὶ χρηστόν:—
Οὐδεὶς ἄλυπος τὸν βίον διήγαγεν ἄνθρωπος ὤν. οὐ
δ᾽ ἄχρι τέλους ἔμεινεν εὐτυχῶν:—
θεοδ Θ(εο)ῦ ἐστι δῶρον, τὸ δυνηθῆναι ἀπολαῦσαι ἀπὸ
τῶν ἑαυτοῦ καμάτων ἐν εὐφροσύνηι:—
Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί:—
Οὐχ ἡδὺ τοῖς πλείοσιν ἀδολεσχίαις λόγων ἀν
τίθεσθαι· ἀρκεῖ γὰρ καὶ εἷς ἀντικείμενος:—
σο Ὁ μισῶν λαλιάν, ἐλαττοῦται κακίαι:—
χάρητ Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν·
ὃ καὶ γέροντι καὶ νέοις τιμὴν φέρει:—
Ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γάρ, κα
σο ταγελασθήσηι:— Οἱ ἀπαίδευτοι. ἀκρα
τεῖς γλώσσηι:— ἄφρων πληθυνεῖ λόγους:—

φίλω̄ ᾧ μὴ ἐφεδρεύει αἰδὼς ἢ φόβος, ἀχάλινον στόμα καὶ ἀνειμένην γλῶτταν κέκτηται:—

δᾱδ ἐθέμην τῷ στόματί μου φυλακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου:—

τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτοὺς ὁ θεός:—

ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν:—

φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ· ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με· οἵτινες διελογίσαντο:—

τὸ στόμα σου ἐπλεόνασε κακίας· καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας:—

σο συκοφαντία, ἄνδρα ταπεινοῖ:— λόγος λυπηρὸς ἐγείρει ὀργάς:— στόμα ἄστεγον ποιεῖ ἀκαταστασίας:— ὁ σκολιὸς, ἐν τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν:— διὰ ἁμαρτίας χειλέων, ἐμπίπτει ἁμαρτωλὸς εἰς παγίδα:— πληγὴ μάστιγος, ποιεῖ μώλωπα· πληγὴ δὲ γλώσσης, συνθλᾷ ὀστᾶ:— μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους· μὴ δὲ ἐπισώρευε ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα:—

ἀπὸ ἰακώβου πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν καὶ ἐναλίων, δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ· τὴν δὲ γλῶσσαν, οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κακόν· μεστὴ ἰοῦ θανατηφόρου· ἐν αὐτῇ εὐλογοῦμεν τὸν θεόν· καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς κατ' εἰκόνα θεοῦ γεγενημένους:—

θεο ὡς οὐδὲν γλώσσης ὁμοιότερον ἐστὶ κροτοῖσιν:—
φιλ μικρὰ μὲν κωλυόμενα ἁμαρτήματα, φύεται
καὶ ἐπιδίδοται πρὸς μέγεθος συναυξανόμενα:—
Εἴ τις ἀδοκιμεῖν νομίζοι τὸ παρὰ θεῷ, τῶν
μοναχῶν ἐπιμελεῖσθαι προηκόντων· τῶν ἀδελ-
φῶν κήδεσθαι τῶν ἑαυτοῦ· οὐδὲν τούτου τῷ
θεῷ, προτιμότερον κατορθοῦμαι:—
Ὁ γὰρ ἑαυτὸν ἀσκῶν, εἰς ἑαυτὸν μόνον περιΐστη-
σι τὴν ὠφέλειαν· τὸ δὲ τῆς ποιμαντικῆς
κέρδος, εἰς ἅπαντας διαβαίνει τὸν λαόν:—
μιχαί Οἱ ἡγούμενοι τῆς πόλεως ταύτης, μετὰ δώ-
ου πρ ρων κρίνουσι· καὶ οἱ ἱερεῖς αὐτῆς, μετὰ μισθοῦ
ἰωσηπ ἀποκρίνονται:— τοῖς παρ' ἀξίαν ἐπι-
τυχοῦσι τῆς ἀνωτάτω τιμῆς, ὑπακούειν
ἐπικτή ἀνάγκη τοῖς παρελθοῦσιν:— μηδεὶς
του φρονίμων τὴν ἀρχὴν ἀποτριβέσθω· καὶ γὰρ
ἀσεβὲς τὸ ἀποστᾶν ἑαυτὸν τῆς τῶν δεομέ-
νων εὐχρηστίας. καὶ ἄνανδρον τοῖς φαύλοις πα-
ραχωρεῖν· ἀνόητον γὰρ τὸ αἱρεῖσθαι κα-
κῶς ἄρχεσθαι μᾶλλον, ἢ καλῶς ἄρχειν:—
σόλωμ Πρὸς ὕβρις, ἡδὺ φάρμακον:— σόλων τὸ γῆρας
ἔλεγεν ὅρμον εἶναι κακῶν· εἰς αὐτὸ γοῦν
ὠσηέ πάντα καταφεύγει:— πομαὶ ἐξηλώθη-
σαν τῷ ἐφραίμ. καὶ αὐτὸς οὐκ ἔγνω:—
σολ Εἰς πάντας τοὺς λόγους οὓς λαλήσουσι, μὴ θῆς
καρδίαν σου· ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου
καταρωμένου σε:— ὑποτακτικοῦ πιστοῦ.
εὐοδωθήσονται πράξεις καὶ κατευθυνθήσονται
αἱ ὁδοὶ αὐτοῦ:—

ἰώβ πλοῦτος ἄδικος συναγόμενος ἐξεμεθήσεται :—
ἀχάριστος ἐν διανοίαις. καταλάψει ἐρωτῶν :—
σο ζητήσουσί με κακοὶ καὶ οὐχ εὑρήσουσιν· ἐμί-
σησαν γὰρ σοφίαν :— μὴ μεθύσκεσθε οἴνῳ·
οἶνος γὰρ καὶ γυναῖκες ἀποστήσουσι συνετούς :—
οἴνῳ καὶ γυναιξὶ μὴ ἀνδρίζου :— ἄνδρες
αἱμάτων μέτοχοι. μισήσουσιν ὅσιον :— ἐκ-
ζητοῦντα κακά, καταλήψεται αὐτόν :—
θεο πᾶσι τὸ καλὸν ὁμοίως αἰδέσιμον :— ἐὰν ἐρή-
φιλ μερος ὢν εὕρῃ τις τὴν ἄσκησιν ὅμως· ἄρ-
ξεται μὲν ζῶν καὶ ἐγρήγορος, ἀπολεῖ δὲ τε-
ἰώβ θνηκὼς ἢ κοιμώμενος :— ἐκ μερίμνης
καὶ φροντίδος, ἀναφανεῖται σοι εἰρήνη :—
σιρα ἐν τῇ ὀργαῖσου, ἐξ ἀγρίου καὶ μὴ κεραδεύῃς :—
θεο νωθεία, ὕπνου σύζυγος :— θνητοῖς γὰρ οὐ-
φιλ δὲν ἰκτῆσιν ἀγαθοῦ, δίχα πόνων ἡ φύσις δε-
δώρηται· οὐδεὶς εὐδαίμων ἡδονὰς ἐκτή-
σατο· οὐδεὶς ῥᾴθυμος ἔλκεται ἀνήρ· ἀλλ' οἱ
πόνοι τίκτουσι τὴν εὐανδρίαν :—
☧ ὅταν ἐννοήσωμεν ἅπερ ἐβουλόμεθα παρὰ
τῶν συνδούλων, λογισώμεθα καὶ ἅπερ ἐβουλή-
σαμεν εἰς τὸν δεσπότην· καὶ τῷ φόβῳ τῶν
οἰκείων ἁμαρτημάτων· τὸν θυμὸν τὸν ἐπὶ
τοῖς ἀλλοτρίοις πλημμελήμασι. ταχέως
ἀπώσασθαι δυνησόμεθα :— οὐ τὸ μαθεῖν
ἔγκλημα· ἀλλὰ τὸ ἀγνοεῖν κατηγορία· οὐ τὸ
διδάσκεσθαι· ἀλλὰ τὸ ἐν ἀμαθίᾳ εἶναι·
οὐ τὸ ἐλέγχεσθαι, ἀλλὰ τὸ ἁμαρτάνειν ἀδι-
όρθωτα :—

ἐαν Ἔστω δὲ ὑμῶν τὸ ναί, ναί· καὶ τὸ οὔ, οὔ· τὸ δὲ
περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστιν:—

ἀπο Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀν
☧ θρώπων εἰρηνεύοντες:— ἀρίστη ὁμό
νοια. καὶ τὸ σύμφρον εἶναι ἀλλήλοις:—
φίλ ἁμαρτήματα μὲν, ἴδιον φαύλου· ἀνδρὸς
γεν δὲ σπουδαίου:— ἐπικατάρατος ὁ θυ
μὸς αὐτῶν ὅτι αὐθάδης· καὶ ἡ μῆνις αὐτῶν,
σο ὅτι ἐσκληρύνθη:— πρόσωπον ἀναι
σχυντον, γλῶσσαν ἐρεθίζει:— νεῦρον
σιδηροῦν ὁ τράχηλός σου· καὶ τὸ πρόσωπόν
σου χαλκοῦν:— ὄψις πόρνης ἐγένε
τό σοι· ἀπηναισχύντησας πρὸς πάντας:—
νυσ πάντων τῶν κατ' ἀρετὴν ἐπιτηδευμάτων.
ἡ ταπεινοφροσύνη ἐστὶν ἐπιπονωτέρα:—
Καλὸν γὰρ ἀεὶ τῷ κρείττονι τὸ χεῖρον ἀκο
λουθεῖν, διὰ κρειττόνος ἐλπίδα:—
Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴ
ἰώβ κειν, κόσμιον:— Ἡσυχάσεις, καὶ οὐκ ἔ
σο σται ὁ πολεμῶν σε:— ἀνὴρ φρόνιμος
ἡσυχίαν ἄξει:— φαῦλοι, ἡσυχάζουσι
ἰσαάκ διὰ παντός:— ἀνὴρ πολυμέριμνος,
πρᾶος καὶ ἥσυχος γενέσθαι οὐ δύναται:—
☧ Αἴτιος ἡμῖν πολλῶν ἀγαθῶν εἰ κοσμοίμεθα
ὁ διάβολος· δεδοικότες γὰρ αὐτοῦ τὰς ἐ
πιβουλάς, νήφομεν καὶ μεμνήμεθα τοῦ θῦ·
ὁ γὰρ ἐφεστῶτα τὸν ἐχθρὸν ὁρῶν, τοῖς δυ
ναμένοις προστρέχει βοηθεῖν:—

ἴσασι καὶ οἱ νόμοι. τοῖς δ' ἂν ἄκων συγγινώ-
ἀπο σκειν ἁμαρτήμασιν:— οἶδε κύριος εὐσε-
βεῖς ἐκ πειρασμοῦ ῥύεσθαι. ἀδίκους δὲ
εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν:—
⳨ ἀδικεῖ τοὺς ἀγαθοὺς ὁ φειδόμενος τῶν
κακῶν:— ἀφόρητος γίνεται κακία
ἐπαινουμένη:— μὴ τιμωμένης ἀρε-
τῆς, ἡ κακία παρρησιάζεται:—
κακίας ῥᾷον μεταμαθεῖν. ἢ ἀρετῆς μετα-
Βασι δοῦναι:— ἀπὸ πρωΐθεν ἕως ἑσπέρας,
μεταλλάσσει καιρός:— ὡς θέλει τὸ φέρον ἀνά
φέρειν. φέρου· ἂν δ' ἀπειθῇς. καὶ σαυ-
τὸν λυπήσεις, καὶ τὸ φέρον σε φέρει:—
Θεο πηγὴ τοῖς εὔφροσιν οὖσι παιδεύματα γίνεται.
καὶ κρεῖττον εὐημερίας, πολλάκις κακοπαθ:—
μεγάλη συμφορὰ ἄνοιαι διασφάλλουσι. καὶ ἡ τοῦ
ἀνακτήσοντος ἐρημία:— φιλεῖ γὰρ
εὐημερία παρὰ λόγον, ὕβρεως ἔργα προ-
καλεῖσθαι:— τῶν εὐτυχούντων ἀνταγω-
νιστὴς ὁ φθόνος:— ἔοικεν ὁμοίως θεάτροις.
διὸ πολλάκις χείριστοι, τὸν κάλλιστον ἐν ἐ-
αυτοῖς κατέχουσι τόπον:— ταῖς τῶν
καιρῶν μεταβολαῖς καὶ οἱ σφόδρα δυνατοί,
τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται:—
Βασι πάσης λύπης παρηγορία, ἡ πρὸς τοὺς ὁμο-
⳨ τύχους συνομιλία:— ἰατρῶν μάλιστα
παῖδες. ὅτι καὶ παρὰ συμμάχου κατασκευ-
ήν. ἄκαιροι γίνονται λῦπαι. εἰ οὐχὶ καὶ

παρ' ἡμῖν τοῦτο συμπίπτειν εἰκός, ὅτε
ἀγνοοῦμεν καὶ μὴ εἰδῶμεν τῆς λύπης
τὴν ὑπόθεσιν:— σοφός τις ἐρωτη
θεὶς πῶς ἄν τις ἄλυπος διάγοι. τοῦτο
ἀδύνατον εἶπεν· οὐ γάρ ἐστι πόλιν ἢ οἰ
κίαν οἰκοῦντας καὶ ἀνθρώποις ὁμιλοῦντας, μὴ
πλου λυπεῖσθαι:— ὅπερ ἂν σιωπᾶσθαι βού
λῃ, μηδενὶ εἴπῃς· ἢ πῶς παρ' ἄλλου τινὸς
ἀπαιτήσεις τὸ πιστὸν τῆς σιωπῆς, ὃ μὴ
παρέσχες σεαυτῷ:— τὸ σιωπᾶν οὐ μό
νον ἀδιάφορον ὥς φησιν Ἱπποκράτης, ἀλ
λὰ καὶ ἄλυπον καὶ ἀνώδυνον:— σιω
πήσας μὲν οὐδεὶς μετενόησεν· λαλή
ἰώβ σαντες δὲ παμπληθεῖς:— ὁ τὰ
πολλὰ λέγων, καὶ ἀντακούσεται:—
μὴ πολὺς ἐν ῥήμασι γίνου· μέχρι τίνος
ὁ σιωπηλός· ἐπίσχες ἵνα καὶ αὐτοὶ λαλή
σωμεν· διατί ὥσπερ τετράποδα σεσιωπή
καμεν ἐναντίον σου:— ἀνὴρ γλωσ
σώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς:—
Ἤκουσας λόγον, συναποθανέτω σοι:—
Ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίας:—
Ἐὰν ἐξελκύσῃς λόγον, ἐξελκύσονται ἐρί
δες καὶ μάχαι:— ἄφρων πληθύνει λόγους:—
Χείλη πολυλάλων τὰ οὐκ αὐτῶν διηγήσονται:—
θεολ Κόρος λόγου, πολέμιος ἀκοαῖς· ὡς ὑπὲρ
νυσ ἁρμόζουσαν τροφὴ σώμασιν:— τὰ μὲν πάν
των ἁμαρτημάτων, καὶ χρόνου καὶ λόγου καὶ

τῆς ἔξωθεν συνεργίας πρὸς τὸ γενέσθαι δέονται· ἡ δὲ τοῦ λόγου φύσις, κατ' ἐξουσίαν ἔχει τὸ πλημμελεῖν:— Εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ· δυνατὸς χαλιναγωγῆσαι ὅλον τὸ σῶμα:—

Κλήμ(εντος) Τὸ περὶ τὴν φωνὴν ἀσκεῖν καὶ σωφρονεῖν, μανείας ἐστὶν ἀπέχεσθαι:—

Θεοδωρίτου· Χρὴ τοιγαροῦν, μετὰ φόβου Θ(εο)ῦ ποιεῖσθαι τοὺς λόγους· πέφυκε γὰρ ὁ πονηρὸς ἐφεδρεύειν ἡμῶν ταῖς διαλέξεσι. καὶ τὸ θυμικὸν τῆς ψυχῆς ἐκταράττειν μέρος· ὥσ ἂν σκοτωθέντες τὸν νοῦν καὶ τῆς ἀληθείας παρατραπέντες· οἱ ἐκφορεῖαι πολλάκις συμπαρασυρθέντες, ὑπαίτιοι ποι ἑαυτοῖς γενώμεθα:—

Σολ(ομῶντος) Γλῶσσαι φρονίμων καλὰ ἐπίστανται· στόμα δὲ ἀφρόνων ἀναγγελεῖ κακά:— Χείλη ἄφρονος, ἄγουσιν αὐτὸν εἰς κακά· τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ, θάνατον ἐπικαλεῖται:—

Σιράχ Πληγὴ μάστιγος, ποιεῖ μώλωπα· πληγὴ δὲ γλώσσης, συνθλάσει ὀστᾶ:— Τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου κατάδησον· καὶ τοῖς λόγοις σου ποίησον ζυγὸν καὶ σταθμόν· καὶ τῷ στόματί σου, θὲς θύραν καὶ μοχλόν· καὶ πρόσεχε μή πως ὀλισθήσῃς ἐν αὐτοῖς:—

Βασιλ(είου) Μὴ γίνου ἀλλοτρίων πραγμάτων δικαστής· ἔχουσι γὰρ κριτὴν δίκαιον, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· σὺ τὸ σὸν κράτει· καὶ κοῦφον ποίει ὅση

σοι δύναμις τὸ ἑαυτοῦ φορτίον· ὁ γὰρ κα
ρύων τὸν φόρτον αὐτοῦ, αὐτὸς καὶ κατα
προφή ᵀ σφᾷ αὐτόν:— οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι
τὴν ὑπομονήν· καὶ τί ποιήσητε ὅταν
ἰεζε ἐπισκέπτηται ὁ θ(εό)ς:— ἐὰν ὁ σκοπὸς προ
κιήλ· είπῃ τί μὲν φυγεῖν τί δὲ ἑλέσθαι δεῖ. τὴν
ψυχὴν ἐξείλετο τὴν ἑαυτοῦ. κἂν ὁ προσέχων
※ μὴ δέξηται:— τὸ ἄδικον καὶ τὸ δίκαι
ον ἐν μεγάλοις καὶ μικροῖς. τὴν αὐτὴν ἔχει δύναμιν:
πᾶσα μὲν ἀρετὴ καλόν· μάλιστα δὲ, ἐπιεί
προφή ᵀ· κεια καὶ πραότης:— οὐαὶ ὁ οἰκοδομῶν
βασι εἰς ὕψος τὴν οἰκίαν αὐτοῦ:— πέφυκε
τὰ κατὰ τὴν πεῖραν λυπήσαντα. τὴν χαρο
γίαν ἔχειν ἐν ἀναμνήμασιν:— φέρει καὶ
τὸ ἐξειπεῖν. ῥαστώνην τινὰ τοῖς ὀδυνω
μένοις:— ὁ ποῖον κ' εἴπησθα ἔπος, τοῖον
κ' ἐπακούσαις:— ὀφθαλμὸς παιδαὐτοῦ,
σιωπῶσα διδασκαλία:— ῥᾷον ἐν τοῖς
ἀλλοτρίοις, ἢ τοῖς οἰκείοις τὸ φιλοσοφεῖν:—
δὶς γὰρ πρὸς τὸν αὐτὸν λίθον προσπταίειν.
τοῖς ἀνοήτοις μόνοις ἡ παροιμία δίδωσιν:—
θεολ οὐχ ἡ μετάθεσις τὸ αἰσχρὸν ἔχει, ἀλλ' ἡ τοῦ κα
κοῦ τήρησις τὴν ἀπώλειαν:— τῶν ἀγωνι
ζομένων, οὐ τῶν κοιταζομένων οἱ στέφανοι:—
οὐδεὶς μὴ πληγεὶς ἐν ἀγῶσι μὴ δὲ κομισάμε
νος στεφανοῦται:— κρεῖττον ἡ ἧττα καλῶς, ἢ νικᾶν ἐπισφαλῶς καὶ ἀθέσμως:— πρῶ
πᾳθοῖς λόγοις μᾶλλον, ἢ ὀργῇ τὰ ἡμαρτημένα
διορθοῦσθαι:—

σο Εἶδον ἄνον δόξαντα φρόνιμον εἶναι παρ'
ἑαυτῷ. ἐλπίδα δὲ ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ:—
προφήτ. Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν
ἀποστο ἐπιστήμονες:— Οὐ γὰρ ὁ ἑαυτὸν συνι-
στῶν, ἐκεῖνός ἐστι δόκιμος. ἀλλ' ὃν ὁ κς
σολ συνίστησιν:— ὁ δοκῶν ἑστάναι βλεπέ-
σιρα τω μὴ πέσῃ:— μὴ δῷς ἀφορμὴν
ἀνοῖς καταρᾶσθαί σε. ἐὰν γὰρ τοῖς ἀ-
[illegible] αὐτοῦ εἰσακούσεται αὐτοῦ ὁ πλάσας
θεο αὐτὸν θσ:— σωφρόνων ἀνδρῶν. τὸ
μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς:—
προφήτ Ἔσται ὅταν ἐπικαλέσησθέ με. ἐγὼ δὲ οὐ-
ἀπο κ εἰσακούσομαι ὑμῶν:— Οἱ πάντες
τὰ ἑαυτῶν μεριμνῶσιν οὐ τὰ τοῦ χυ:—
ἰεζε ψυχὴ ἡ ἁμαρτάνουσα. αὐτὴ ἀποθανεῖται.
κιηλ καὶ οὐ μὴ τίσαι τὴν τοῦ πρὸς ἁμαρτίαν.
ὁ ἐξ ἐκείνου γενόμενος:— Ὁ ἄριστος
κυβερνήτης. οὔτε ἐν γαλήνῃ χαυνοῦ-
ται. οὔτε ἐν χειμῶνι ταράττεται:—
εὐαγ Ὁ ἐν ἐλαχίστῳ πιστός, καὶ ἐν πολλῷ πιστός ἐστιν.
καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄ-
σο δικός ἐστιν:— Ἐπαγγελία φαιδρὰ, ἄνδρα
λευϊ εὐφραίνει:— ἐλεγμῷ ἐλέγξεις τὸν πλη-
τικὸν σίον σου. καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν:—
ἀπο τοὺς ἁμαρτάνοντας, ἐνώπιον πάντων ἔ-
λεγχε. ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν:—
μηδείς σου τῆς νεότητος καταφρονείτω.
ἔλεγχε αὐτοὺς ἀποτόμως:—

βασι Ὁ ἐφησυχάζων καὶ μὴ ἐλέγχων τὴν ἁμαρ
τίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ἀπαραλλάκτως ἐστὶν
ὥσπερ ὁ τὸν ἰὸν ἐναφεὶς τῷ δηχθέντι
ἱερεμ ὑπὸ τοῦ ἰοβόλου:— υἱὲ ἀνου· σκοπὸν
δέδωκά σε τῷ οἴκῳ ἰηλ· ἐὰν μὴ διαστεί
λῃς τῷ λαῷ, ἐκεῖνος μὲν ἀποθανεῖται
ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ· τὸ δὲ αἷμα αὐτοῦ,
ἐκ τῆς χειρός σου ἐκζητήσω:—
Διαμαρτύρου τῷ λαῷ τούτῳ· κἂν μὴ ἀ
κούσωσιν, αὐτὸς ἀνεύθυνος ἔσῃ:—
θεο Οὐ πρὸς δικαίου ἀνδρὸς, σιωπῇ τὰς πα
σολ ρανομίας ἐπικαλύπτειν:— μὴ ἔλεγ
χε κακοὺς, ἵνα μὴ μισήσωσί σε:— ἔλεγχε
σοφὸν καὶ ἀγαπήσει σε· ἄφρονα δὲ, καὶ
προσθήσει τοῦ μισῆσαί σε· οἱ γὰρ ἔλεγχοι
τῷ ἀσεβεῖ μώλωπες αὐτῷ:— Οἱ μισοῦν
τες ἐλέγχους, τελευτήσουσιν αἰσχρῶς:—
λόγος λυπηρὸς, ἐγείρει ὀργάς:— στόμα ἄστε
γον, ποιεῖ ἀκαταστασίας:— ἀντιλογί
λιβανί ας ἐγείρει πᾶς κακός:— αἱ ἀντιλογίαι·
ου καὶ τὸν ἄγαν σώφρονα πολλάκις ἐξήγαγον,
ἀφεῖναί τι ῥῆμα τῶν αὐτοῦ τρόπων ἀνάξιον:—
σολ ἀπόκρισις ὑποπίπτουσα, ἀποστρέφει θυμόν:—
Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσ
σαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ:—
Ὁ μισῶν λαλιὰν, ἐλαττοῦται κακίᾳ:—
Γλῶσσα μαλακὴ, συντρίβει ὀστᾶ:— Κηρία
μέλιτος, λόγοι καλοί· γλύκασμα δὲ αὐτῶν.

ἰᾶσθαι τυχεῖν :— λάρυγξ γλυκύς, πλη
θυνεῖ φίλους· καὶ γλῶσσα εὔλαλος. πλη
θυνεῖ εὐπροσηγορίαν :— αὐλὸς καὶ
ψαλτήριον ἡδύνουσι μέλη· καὶ ὑπὲρ ἀμ
φότερα. γλῶσσα ἡδεῖα :— λόγοι στό
ματος σοφοῦ, χάρις :— μέλι καὶ γάλα
ἀπ ὑπὸ τὴν γλῶσσάν σου :— ὁ λόγος ὑμῶν
πάντοτε ἐν χάριτι· ἅλατι ἠρτυμένος·
εἰδέναι πῶς δεῖ ἑκάστῳ ἀποκριθῆναι :—
χ Κτῆσαι γλυκέαν [illegible]. καὶ πάντας φίλους
θεο ἕξεις :— θᾶττον ἄν τις ἐκμελήσῃ
κακίαν ἑτέροις δικάζων. ἢ τὴν οἰκεί
αν λύσαιεν :— οὐδὲν ὥσπερ τοῖς πο
νηροῖς ἐπιείκεια :— τυχὼν γὰρ κε
κήλοις, οὐδὲν τῶν καλῶν ἀξιόπιστον :—
βασι πᾶν τὸ κατ' ἴδιον θέλημα ἀρεστόν, ἀλλό
τριον θεοσεβούντων :— πᾶσα κρίσις
ἰδίου θελήματος ἐπισφαλής :—
ἐν παντὶ πράγματι τὸ κατὰ θέλησιν
ἰδίαν ἐπιτρέπειν τινί, [illegible] :—
τὸ ἄκαιρον, πανταχοῦ λυπηρόν :—
οὐ δυνατὸν σωθῆναι, μὴ προϊόντα τὰ
κατ' ἐντολὴν τοῦ θεοῦ ἔργα· οὔτε τὸ πα
ριδεῖν τι τῶν προσταττομένων ἀκίνδυνον :—
θεο μόνου θεοῦ, τὸ παντελῶς ἀναίτιον καὶ ἀμά
χ ἱερῶ μαχον τῶν παθῶν :— ἀσθενὴς ὁ σὸς λέ
γων θῇ πρόσωπον ἐντίμου, οὐδὲ οἶ
δεν τιμὴν δέξασθαι τούτου :—

σιρα προσδέχη ταπηνοῦ μεφόβεμασ δὲ ἤλθεν:—
μὴ παρέκταμου πένης ὢν πλουσίοις:—
Κοῦφον ἐν ὀφθαλμοῖς κῦ. ἐξαπίνης
ἰὼβ πλουτίσαι πένητα:— ὀλίγα ὧν ἡμάρ
ἀμβα τηκας μεμαστίγωσαι:— συντέλει
κουμ α. ἐπὶ ἁμαρτωλοῖς ἥξει:—
εὐαγγε Ὃς οὐκ ἀποτάσσεται τοῖς ἑαυτοῦ ὑπάρχου
σιν, οὐ δύναταί μου εἶναι μαθητής:—
Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνη
σάσθω ἑαυτόν:— ἄρνησις δέ ἐστιν ἑαυ
τοῦ, ἡ τῶν θελημάτων ἑαυτοῦ ἀναχώρησις:—
βασι τὸν μέντοι ἐπιτεταγμένον οὐ χρὴ ἀντιλέγειν·
ἡ γὰρ ὑπακοὴ, μέχρι θανάτου ἔχει τὸν ὅρον:—
ἀπ τὰ τοῦ θῦ κρίματα ἐκδικεῖν. ἀπαραίτη
τος ἀνάγκη. ἵνα μὴ ἀπολαύσῃ τῆς ὀργῆς
τοῦ θῦ ὁ ἐφησυχάζων:— τί γὰρ ὄ
φελος κυβερνήτῃ εἶναι χρηστόν. πονη
ροῖς χρώμενον ἐρέταις:—
☧ οὐκ ἀνέτων καὶ ἀμερίμνων ἐστὶν ἡ βασιλεία
τῶν οὐρανῶν, ἀλλὰ βιαστῶν· βιασταὶ γὰρ
ἁρπάζουσιν αὐτήν:— σκάμμα ἐστὶν
ὁ παρὼν βίος· ἐν δὲ τῷ σκάμματι καὶ
τοῖς ἀγῶσιν, οὐ δύναται ἀνέσεως ἀπολαύ
ειν ὁ στεφανοῦσθαι μέλλων:— Οὐδεὶς
μὴ πληγεὶς ἐν ἀγῶσι μὴ δὲ κονισάμενος
στεφανοῦται:— μὴ ζητῶμεν ἄνεσιν·
θλῖψιν γὰρ ἐπηγγείλατο τοῖς ἑαυτοῦ μα
θηταῖς ὁ χς:— εὐχώμεθα οὖν τῷ θεῷ,

μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόν-
τα δὲ, φέρειν γενναίως:— Χρὴ εἰς
θν ἐλπίζειν. καὶ μὴ εἰς τὰς τῶν ἀνων
προστασίας:— Οὐ χρὴ μάταιον λαμβά-
νειν ὅρκον. ἢ ὅλως ὀμνύειν:—

ῥνα ς περὶ κοινωνίας:—

ἀπο Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον· ἢ πίνῃ τὸ ποτήριον
τοῦ κυ ἀναξίως. ἔνοχος ἔσται τοῦ σώμα-
τος καὶ αἵματος τοῦ κυ· δοκιμαζέτω δὲ
ἄνος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθι-
έτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων
καὶ πίνων. κρίμα ἑαυτῷ ἐσθίει καὶ πί-
νει. μὴ διακρίνων τὸ σῶμα:—

Βασι Τὸ ἐν ἀκαθαρσίᾳ ὄντα τινὰ ἐγγίζειν τοῖς
ἁγίοις μυστηρίοις. καὶ ἐκ τῆς παλαιᾶς δια-
θήκης φοβερὸν διδασκόμεθα τὸ κρίμα.
Εἰ δὲ πλέον τοῦ ἱεροῦ ὧδε, φοβερώτε-
ρον δηλονότι παιδεύει ἡμᾶς ὁ ἀπόστολος.
εἰπών· ὁ ἐσθίων καὶ πίνων ἀναξίως.
κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει:—

⁂ Καιρὸς κοινωνίας. οὐχ ἑορτὴ καὶ πανήγυ-
ρις. ἀλλὰ συνειδὸς καθαρὸν. καὶ βίος
ἐγκλημάτων ἀπηλλαγμένος:—

Τὸ ῥαθύμως προσιέναι τοῖς θείοις τοῦ χυ
μυστηρίοις κόλασιν ἀφόρητον ἔχει.
Κἂν ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο τολμᾷ τις:—

ἀθα Εἴ τις ὑπὸ γαστριμαργίας ἢ συγκαταθέ-
σεως αἰσχρῶν λογισμῶν ἐξονειρώσσεται·
Εἴ τις ὑπὸ μίσους ἢ μνησικακίας ἐσκότωται·

Εἴ τις ὑπὸ φθόνου ἢ ὀργῆς τεθόλωται·
Εἴ τις ὑπὸ ὑπερηφανίας ἢ ἀλαζονείας
κεκράτηται· μὴ τολμήσῃ προσελθεῖν
τοῖς ἁγίοις καὶ ἀχράντοις μυστηρίοις· πρὶν
ἢ διὰ προσηκούσης μετανοίας ἀπονιψά-
μενος, καθαρίσῃ ἑαυτὸν ἀπὸ παντὸς μο-
λυσμοῦ σαρκὸς καὶ πνεύματος· τὰ γὰρ ἅγια, οὐ-
χὶ τοῖς βεβήλοις, ἀλλὰ τοῖς ἁγίοις :—
Πηδᾷ καὶ γῆρας, ὑπὸ περιχαρείας μα-
σο ρούμενον :— Ψυχὴν ταπεινουμένην ἰδὼν
μὴ ταράξῃς :— Κενοδοξίαι μοιχεύου-
σαν παιδείας· τοὺς γνώμονας ἡμῖν καθ᾽ εἰπεῖν
☧ λόγον :— Οὐ ποσότητι εἰσφορᾶς ἀ-
παιτεῖ ὁ θεός, ἀλλὰ μέτρῳ γνώμης :—
Οὐ τῷ μέτρῳ τῶν διδομένων ἡ ἐλεημο-
σύνη κρίνεται· ἀλλὰ τῇ δαψιλείᾳ τῆς
ἐλαε γνώμης :— Ἐκ τῶν καρπῶν αὐτῶν
σο ἐπιγνώσεσθε αὐτούς :— Διώκει τὴν
φιλω πηγὴν ὁ ποταμός, καὶ ὁ καρπὸς τὴν ῥίζαν :—
Πολύτροπος ὢν ὁ υἱός, ποικίλος ταύτης δὲ
τῆς σοφίας τοῦ πηδαλιουχήσοντος κυ-
βερνήτου :— Πεῖραν αὐτοῦ ἐκ τῶν
ἔργων λάμβανε μᾶλλον, ἢ ἐκ τῶν λόγων·
πολλοὶ γὰρ ἔργοις μὲν εἰσὶ κακοί, λόγοις δὲ
θεο πιθανοί :— Τοῦ λαλεῖν ὡς χρή, τὸ ἀκού-
ειν οὐκ ἀτιμότερον :— Κρεῖττον ἀκο-
ὴν ὑποτίθεσθαι μᾶλλον ἐγγυώμενον, ἢ
γλῶσσαν κινεῖν ἀπαίδευτον :—

ΝΥΣ· Βουλοίμην δ' ἂν ἐγὼ τῶν ἀγαθῶν τι λεγόν-
των ἀκούειν μᾶλλον, ἢ λέγειν αὐτός:—
ΘΕΟ Βίου μὲν, οὐδεὶς πό-θ' ὑστερήθη λαλῶν· λό-
γου δὲ πολλοὶ, τοῦ καλῶς σοφουμένου:—
Τρόπων χρεία, οὐ λόγων· ἔργων, οὐ ῥημά-
των:— ἄφωνον ἔργον, κρεῖσσον ἀ-
πράκτου λόγου:— φαινομένων ἔργ(ων),
περιττὸν ἐστὶ μακρολογία:— Οὐδὲν οὕ-
τω πείθει τοῖς πολλοῖς, ὡς πρᾶξις ἡ σι-
✱ ωπῶσα παραίνεσις:— Βίος λόγου
δυνατώτερος· καὶ τρόπος ῥημάτων· καὶ ἡ διὰ
τῶν ἔργων ἐπίδειξις, τῆς διὰ τῶν λόγων
διδασκαλίας:— Οὐχ οὕτως εἴωθεν
ἐντίθεσθαι τῇ ψυχῇ τὰ μαθήματα ἀπὸ
τῶν ῥημάτων, ὡς ἀπὸ τῶν πραγμάτων:—
ΝΥΣ· Οὐ τοσοῦτον ὁ λόγος, ὅσον χρηστὸς τρόπος
πείθειν δύναται:— Οἷος ὁ τρόπος
ἐστὶν ἑκάστου, τοιοῦτοι καὶ λόγος συν-
ΒΑΣΙ τάττεται:— Τὸ γὰρ πόνῳ κτηθὲν,
περὶ χαρᾶς ὑπεδέχθη καὶ φιλοπόνως διε-
φυλάχθη· ὧν μέν τοι πρὸ χειρὸς ὁ πορι-
σμὸς, τούτων ἡ κτῆσις εὐκαταφρόνητος:—
ΣΟ Γῆρας λεόντων, κρεῖσσον ἀκμαίων νεβρῶν:—
ΘΕΟ σοφός ἐστιν, ὁ τῆς ἀμαθίας καὶ πρὸ τῆς σο-
φίας ἐγγύς:— Καλὸν τοῖς κρημνιζομέ-
νοις χεῖρα διδόναι· εἰ ἔσται μὴ συγκατασπᾶ-
σθαι αὐτοῖς κινδυνεῦόν τι:— Ἀποστῆναι
τῶν κρειττόνων, τιμᾶται τὰ χείρονα:—

εὐαγγ οὐ γάρ ἐστι κρυπτὸν, ὃ οὐ φανερὸν γενήσεται·
οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται καὶ εἰς
γεν φανερὸν ἔλθῃ:— Ὄψεσθε τὴν ζωὴν
ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλ-
μῶν ὑμῶν:— ἀναστήσει κσ ὁ θσ ἐξ ὑ-
μῶν προφήτην ὡς ἐμέ· αὐτοῦ ἀκού-
σεσθε:— Ἐάν τις ἔλθῃ σημεῖα ποιῶν
καὶ πρὸς τὸν θν ἄγων· καὶ τὰ μέλλοντα
προλέγων μετὰ ἀληθείας ἁπάσης, ὑπα-
κούειν αὐτοῦ χρὴ μετὰ πάσης τῆς προθ:—
Νει τῶν μὲν ἑτέρων ἂν τύχοι, οὐ φρόδεμαι τελεί
φράττον ταῖς τῆς συμβολῇ· οὐδὲ τελείων ἀρε-
τῆς ποιοῦνται σπουδήν· ἀλλ' ὁ μὲν χα-
μαὶ τῶν παθῶν σφοδρότερος· ὁ δὲ τὰ
πάθη κινουμένων λογισμὸς ἀσθενέστερος:—
ἀγρί γνωστικὸς καὶ πρακτικὸς ὑπήρτησαν
ἀμμίμοις· μέσον δὲ ἀμφοτέρων, εἰακ-
☧ κεικὸς:— Ἡ — τοῦ προεστῶτος ἀπει-
ρία, ἀπόλλυσι τοὺς μανθάνοντας· καὶ
ἡ τῶν μανθανόντων ἀπείθεια, κίν-
δυνον φέρει τῷ προεστῶτι:—
τέχνη τὸ ἄρχειν ἐστίν, οὐκ ἀξίωμα μόνον·
καὶ τέχνη, τεχνῶν πασῶν ἀνωτέρα:—
Βασι εὐεργεσία τοῖς ὑποδεεστέροις καὶ ἄρχειν
ἑαυτῶν μὴ ἐπισταμένοις, τὸ δουλεύειν τοῖς
κατ' ἐπιστήμην ἀρχόντων:—
Θεο Βέλτιον τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνι-
κωτέροις, ἢ ἄλλ' ἡνιόχους εἶναι ἀνεπιστήμον:—

Οὐκ ἔστι, λέοντα πρόβατα νέμειν· καὶ
οὐκ ἀσφαλὲς, ἐμπαθῆ ἐπὶ ἐμπαθῶν
βασι ἄρχειν:— διόκομον τὸ ἐν καρδίᾳ καθαρὸν, ἐν ᾧ ἄνου φῶς διασωθῆναι:—

εὐαγγε μακάριοι οἱ πτωχοί· καὶ οὐαὶ τοῖς πλουτοῦσιν, ὅτι ἀπέχουσι τὴν παράκλησιν αὐτῶν:—

σο προφάσεις ζητεῖ ἀνὴρ, βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων· ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται:— Ὁ ἀγαπῶν, ἐπιμελῶς παιδεύει:— Ὁ ἀγαπῶν τὸν υἱὸν αὐτοῦ, ἐνδελεχιεῖ μάστιγας αὐτῷ· πληγαὶ γὰρ καὶ ἔλεγχοι, διδόασι σοφίαν:—

μὴ ἀπόσχῃ νήπιον παιδείαν· ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται:—

ὃς φείδεται τῆς ἑαυτοῦ βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ:— υἱῷ καὶ θυγατρὶ μὴ προσμειδιάσῃς· ἵνα μὴ ὕστερον δακρύσῃς:—

ἔρχεται καὶ λεγόμενος, ἐπὶ δήμων κακοῖς καὶ μοχθηρίας τινός, παρ' ἀνθρώποις δῆμος:—

ἁμαρτάνων εἷς, ἀπολέσει ἀγαθωσύνην
φιλ πολλήν:— τὴν αἰδῶ, φασὶ μὴ μι-
βασι σεῖσθαι τοῖς πολλοῖς:— τοῖς καλοῖς φασὶ, πάντα μετὰ τῆς τοῦ καλοῦ προσθήκης γίνεσθαι:— δεῖ τὸν ὀρθῶς κρίνειν μέλλοντα, μὴ ὅλον εὐθὺς τοῖς προλαβοῦσιν ἀπάγεσθαι· ἀλλὰ τὸ ἥμισυ τῆς ἀκροάσεως, ἀκέραιον διασώζειν τῷ μὴ παρόντι:— φέρε καὶ τὸ ἐξειπεῖν, ῥᾳστώνην

τιμᾶν τοῖς ὀδυνωμένοις :— μῦθός ἐστι,
λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν :—

προφή-
του·

Ἐγὼ ἔρχομαι τὰ βουλεύματα καὶ τὰς πρά-
ξεις ὑμῶν συναγαγεῖν· καὶ ἰδοὺ ἄνος καὶ
τὸ ἔργον αὐτοῦ· καὶ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ :—

Βασι

Καλόν, παρ' αὐτὸ πάντας καλεῖν πρὸς ἑ-
αυτό :— Οἷς γάρ τις χαίρει γινο-
μένοις, τούτοις καὶ σιωπῶν συμμουλάς :—
Ὀφθαλμὸς παιδευτοῦ, σιωπῶσα διδασκαλία :—
Ἡ φιλία, καὶ τὰ διεστῶτα ποιεῖ πλησίον :—
Οὐ δόκιμον τὸ ἀπείραστον· τὸ δὲ δοκιμα-
σθὲν τοῖς πράγμασι δοκιμώτερον· ὥσπερ
ἐν καμίνοις χρυσός :— Τοῦ χρόνου μέ-
τρον, μέτρον τῆς κατανύξεως :— Οὐ το-
σοῦτον εὐφραίνει παρὸν τῶν τερπνῶν οὐ-
δέν, ὅσον ἀνιᾷ χωριζόμενον :—
δι' ἐργάτωρ, μάταιος ὁ ἀργός :— Οἱ σαρκι-
κοί, τὰ πνικὰ πράσσειν οὐ δύνανται :—
Καλὸν τὸ διδάσκειν, ἐὰν ὃ λέγων ποιῇ :—

Θεο

ὕλας ἀσύμφορου καρπός, ἁμαρτία :— πᾶς
ὁ πλέων, ἄξιός ἐστι τοῦ ναυαγίου· καὶ πᾶς ὁ
σῶμα περικείμενος, ἄξιός ἐστι τῶν τοῦ
σώματος κακῶν :— Ἔστι τὸ διδραμών,
ὁ νομοὶ εἰκοσι :— Τύχη νικοστικῇ, οὐ δύνα-
ται τῆς χάριν δοξάσθαι ποτέ :—

σο

Ὃν ἀγαπᾷ Κς παιδεύει :— Διαπαντὸς
παιδεύθητι Ἰλῆμ, ὅπως μὴ ἀποστῇ ἡ ψυχή
μου ἀπὸ σοῦ :— πλεῖνα πρὸς τὰ ὅμοια

καταλύει:— πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ:—
Κακόφρων ἀνήρ· πολλὰ ζημιωθήσεται:—
Ἰεζε ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται·
κιήλ· καὶ οὐ μὴ ~~θέσαι~~ τὴν τοῦ πρὸς ἁμαρτίαν.
Νυσ· ὁ ὀξὺ ἐκάμνου γομόμενος:— Ὁ θεωρήσας
τὸ ἀγαθὸν μόνον· κωλυθεὶς δὲ πρὸς τὸ καλὸν τὸ μὴ διώκεσθαι. καὶ τοῦ δέον ὑπαρ
τοῦ ταῖς τῆς ψυχῆς διαθέσεσι. τοῦ διὰ
τῶν ἔργων τὴν γνώμην δείξαντος:—
εὐαγγ. τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνα
λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον:—
δύσκολον εὑρεῖν ἄνθρωπον ἀδικίας καθαρόν:—
πᾶσα μὲν ἀρετὴ καλόν· μάλιστα δέ, ἐπιεί
κεια καὶ πραότης:— τὸ ἄδικον καὶ τὸ δί
καιον ἐν μεγάλοις καὶ μικροῖς, τὴν αὐτὴν
ἔχει δύναμιν:— μετάνοιά ἐστι, τὸ
μηκέτι τὰ αὐτὰ ποιεῖν:— ἀνδρὸς
ἀρετήν, οὐκ ἀρχόμεναι δηλοῦσιν αἱ πρά
ξεις· ἀλλὰ τελεσθεῖσαι μηνύουσιν:—
Σιράχ μὴ ὑποστρώσῃς ἀνδρὶ μωρῷ σεαυτόν:—
Βαβρί δέον τὰ τέλη τῶν πραγμάτων ἕκαστον προ
ον ορᾶν, καὶ οὕτως τὴν τούτων ἐγχείρησιν
Σιράχ ποιεῖσθαι:— ἰσχυροτέρῳ σου μὴ κοινώ
νει· τί κοινωνήσει χύτρα πρὸς λέβητα·
αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται:—
Οὐ πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην
ὁ θεός· ἵνα μὴ ἀπογνῶσι τὴν ἀνάστασιν καὶ
ἀπιστήσωσι τὴν κρίσιν· ὡς πάντων ἐνταῦ

θαι διδόντων λόγον· οὔτε πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν· ἵνα μὴ πάμπαν ἀπρονόητα εἶναι τὰ πάντα νομίσῃς:—

νύσσης· Ἡ τοῦ θεοῦ δικαιοκρισία, ταῖς ἡμετέραις διαθέσεσιν ἐξομοιοῦται· καὶ οἷα περ ἂν τὰ παρ' ἡμῶν ᾖ, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων ἀντιπαρέχεται:—

νείλου Ὁ τὴν ἑαυτοῦ θεραπεύων γαστέρα καὶ πνεῦμα πορνείας νικῆσαι θέλων, ὅμοιός ἐστι τῷ μετὰ ἐλαίου σβεννύοντι ἐμπρησμόν:—

φίλωνος Φεῦγε πᾶν τὸ ἡδύ· ὅτι ματαίως παρακαλεῖ:— Ἐσχάτης κακίας τὸ μὴ μόνον ἑαυτὸν ἁμαρτάνειν, ἀλλὰ καὶ συνηγορεῖν ἄλλοις:—

Πολύχουν μὲν καὶ πολυφορώτατον ἐν ἀνθρώπων τύχαις τὸ κακόν· ἐσπαρμένον δὲ καὶ σπάνιον τὸ ἀγαθόν:—

ἀθα Ὁ ἐπιθυμήσας κάλλους καὶ δίχα τῆς πράξεως, ἀμάρτυρον τὴν ἁμαρτίαν εἰργάσατο:—

☧ Ῥίζα μοιχείας, ἡ περίεργος θέα τῶν ὄψεων:—

Οἱ πειραζόμενοι ὑπὸ σωματικῶν ἡδονῶν·

ἀπο κἂν μὴ πλησιάσωσι σώμασι, κατὰ διάνοιαν ἐξεπόρνευσαν:— Ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν· οὐ γὰρ ὃ θέλω, τοῦτο καὶ πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ· νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία:— Πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε· ἀνεχόμενοι ἀλλήλων

ἀπο ἐν ἀγάπῃ Χριστοῦ :– πειθαρχεῖν δεῖ θεῷ μᾶλ
λον, ἢ ἀνθρώποις :– οἱ τὰ ἱερὰ ἐργαζόμε
νοι, ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν· καὶ οἱ τῷ θυσι
αστηρίῳ προσεδρεύοντες, τῷ θυσι
αστηρίῳ συμμερίζονται :– τὸ φρό
νημα τῆς σαρκὸς, θάνατος· τὸ δὲ
φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη·
διότι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα
εἰς θεόν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑπο
τάσσεται· οὐδὲ γὰρ δύναται· οἱ δὲ ἐν
σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται :–
πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης.
οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ :–
μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοί· ἀλλὰ
δότε τόπον τῇ ὀργῇ· γέγραπται γάρ· ἐμοὶ
ἐκδίκησις· ἐγὼ ἀνταποδώσω λέγει κύριος :–
νήψατε γρηγορήσατε· ὅτι ὁ ἀντίδικος ὑμῶν
διάβολος ὡς λέων ὠρυόμενος περιπα
τεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστη
τε στερεοὶ τῇ πίστει :– θεὸν ὁμολογοῦσιν
εἰδέναι· τοῖς δὲ ἔργοις ἀρνοῦνται :–
διὰ τῆς παραβάσεως τοῦ νόμου, τὸν θεὸν ἀτι
μάζεις· ὕβρις γάρ ἐστι τῷ νομοθέτῃ, ἡ
τῶν νόμων ὑπερορία καὶ καταφρόνησις :–
βασι θυμίαμα τῷ κυρίῳ, ὁ ἐν σώματι ἁγιασμός :–
μακάριος ὁ πάσης ἐλπίδος τῆς κατὰ τὸν κόσμον
τοῦτον ἑαυτὸν ἀπαρτήσας· καὶ μόνην ἔχων ἑαυτοῦ
ἐλπίδα τὸν θεόν· ὡς γὰρ ἐπικατάρατος ἄνθρωπος ὃς

τὴν ἐλπίδα ἐφ' ἑαυτὸν, οὕτως ἐρρωμένος ὁ ἐπιστηριζόμενος τῷ κυρίῳ:–

πεφύκαμεν οἱ ἄνθρωποι, ἅπερ ἂν ἑκόντες ἑλώμεθα, κἂν ἐπίπονα ᾖ καταδέχεσθαι:–

σκότος ἐστὶν, ἀὴρ ἐστερημένος φωτός. φῶς δὲ, ὅ ἐστι διαλυτικὴ σκότους:–

Γλυκὺ μέν ἐστι, ἀπὸ τῆς χυμοῦ ἢ χυλοῦ· τὴν γευστικὴν ἡδύνουσα αἴσθησιν· πικρὸν δὲ ἐστι. γευστὸν ἐκτραχῦνον τὴν γεῦσιν:–

ἄνθραξ ἐστὶ, πῦρ γεῶδες· μετὰ τὴν τῆς φλογὸς πάροδον. τῇ παχύτητι ὕλης ἐναπομεῖναν:– Διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν· ἢ γὰρ αἱ θλίψεις τὰς καρδίας δοκιμάζουσιν ὥσπερ χρυσὸν ἐν καμίνῳ· διὰ τῆς ὑπομονῆς τὸ δόκιμον αὐτῶν ἀπελέγχουσαι, ἢ καὶ πολλάκις αὐταὶ αἱ εὐθηνίαι τοῦ βίου, ἀντὶ πειρατηρίου γίνονται τοῖς πολλοῖς· ὁμοίως γάρ ἐστι χαλεπὸν ἔν τε δυσκολίαις πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι. καὶ ἐν ταῖς περιφανείαις μὴ ἐπαρθῆναι πρὸς ὕβριν:–

Κἂν χρήσιμος ἀποκριθῇ τις μὴ καθηκόντως δὲ, ἔνοχος ἔσται τοῖς τῆς ἀταξίας ἐπιτιμίοις:– Ὁ ἀργὸς τοῦ καλοῦ, μετὰ τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ κρίνεται:– ἀσθένειά ἐστι. διάθεσις ψυχῆς· μὴ ἔχουσα ἢ μὴ φέρουσα ἀγῶνας ἀθλη

τικόν· ὥσπερ καὶ ἀκρασία ἐστὶν. ἡ μὴ
ἔχουσα κράτος κατὰ τῶν ἐνοχλούντων
ἡδονῶν:— τὰ ἐπιτάγματα τῶν ἐν
μαιμῶν. γίνεται πολλάκις καὶ οἰκονομί
αν πρὸς τὸ συμφέρον· τοῦ θ(εο)ῦ ὑποχωροῦν
τος ἐνίοτε ὀλισθῆσαι. εἰς θεραπείαν ἐ
παρθέντος προμαιονικος:— ἐὰν πάσχῃ
ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη:—
τὸ αἷμα τοῦ ἡμαρτηκότος. ἐκ τῶν χειρῶν
τοῦ σκοποῦ ἐκζητηθήσεται:— ἡ πρὸς
τοῖς φαύλοις τῶν λόγων συνήθεια, ὁδός
τις ἐστὶν ἐπὶ τὰ πράγματα:— βασιλεί
α ἐστὶν. ἔννομος ἐπιστασία:— παροιμία
ἐστὶ. παίδευσις ἠθῶν· παθῶν ἐπανόρθω
σις· διδασκαλία νέου· λόγος ὠφέλιμος:—
σοφία ἐστὶν. ἐπιστήμη θείων καὶ ἀνθρωπίνων
πραγμάτων:— παιδεία ἐστὶν. ἀγωγή
τις ὠφέλιμος τῇ ψυχῇ:— δικαιοσύνη
ἐστὶν. ἡ τοῦ ἴσου διανομή:—
ψαλμός ἐστι. λόγος μουσικός:— ᾠδή ἐστι. φω
νὴ ἐμμελὴς ἀποδιδομένη ἐναρμονίως:—
ψαλτήριόν ἐστιν. ὄργανον μουσικόν· ἐναρ
μονίως τοῖς φθόγγοις πρὸς τὴν ἐκ τῆς
φωνῆς μελωδίαν ἀποδιδόν:— οὐκ εἴ
τις τὰ τοῦ ψαλμοῦ ῥήματα τῷ στόματι
προσφέρει. οὗτος ψάλλει τῷ κ(υρί)ῳ. ἀλλ' ὅσοι
ἀπὸ καρδίας καθαρᾶς ἀναπέμπουσι τὰς
ψαλμῳδίας:— τὸ πλῆθος τῆς σωματι

κυρίως δυνάμενος, ἐμπόδιόν ἐστι πρὸς
τὴν σωτηρίαν τοῦ ἀνθρώπου. ὅταν ἀσθενῶ, φη-
σί, τότε δυνατός εἰμι. καὶ ἐν πλήθει
δυνάμεως αὐτοῦ οὐ σωθήσεται ὁ Δαυ-
ῒδ φησίν:— τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν
τῇ κεφαλῇ αὐτοῦ. τουτέστι, προορατικόν
ἐστι καὶ περιεσκεμμένον τὸ κρυπτὸν τοῦ σοφοῦ:—
ἐντρυφή ἐστι, πᾶν κρύφιον κατὰ τὴν ζωὴν τῆς
τροφῆς· ἀπορρηγνυμένων τῶν πομφολύ-
γων. ἔστι τὸ ἄνω διαπηδώμενον:—
ὡραῖον λέγεται, τὸ συμπεπληρωμένον εἰς
τὸν ἐπιτήδειον καιρὸν πρὸς τὴν οἰκείαν
ἀκμήν· ὡς ὡραῖος ὁ σῖτος· ὁ ὥριμος ἤδη
πρὸς θερισμόν:— καλὸς δέ ἐστι, τὸ ἐν τῇ
συνθέσει τῶν μελῶν ἐνάρμοστον· ἐπανθοῦ-
σαν αὐτῷ τὴν χάριν ἔχον:— πόλις ἐ-
στί, σύστημα ἱδρυμένων κατὰ νόμον διοικουμένων:—
πεφύκασί πως αἱ καθ' ὕπνον φαντασίαι ὡς
τὰ πολλά, ἀπηχήματα εἶναι τῶν μεθη-
μερινῶν φροντίδων· ὁποῖα γὰρ ἂν ᾖ τὰ
κατὰ τὸν βίον ἡμῶν ἐπιτηδεύματα, τοιαῦτα
ἀνάγκη εἶναι καὶ τὰ ἐνύπνια:—
ἃ οὐκ ἐκ προαιρέσεως ἡμῖν συμβαίνει, ταῦτα
ἀκούσια· ἐπὶ δὲ τοῖς ἀκουσίοις ἐγκλή-
μασιν, ἐλεεῖσθαι μᾶλλον ἢ καθυβρίζεσθαι
τοὺς ἀτυχοῦντας προσήκει:— ἑκάστου
ἄρτοι, ἄλλως ἐστὶν ἀπὸ γενέσεως αὐτοῦ:—
οὐ μόνον ἄλλοι τὰ καθ' ἡμᾶς γινώσκουσιν.

ἀλλὰ καὶ πάντων ἄλλων αἱ τύχαι:— Ἐ-
κάκωσας γάρ φησιν ὁ θ(εὸ)ς καὶ ἐλιμαγχόνη-
σας. ἵνα εὖ σε ποιήσω· καὶ ἐγὼ ἀποκτενῶ
καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι:—
Κέρδος τοῖς κολαζομένοις ὁ θάνατος. ἀπαλ-
λάττων φθορῶν τῶν λυπηρῶν:— δίκη ἡ τι-
μωρία, ἡ μετὰ τῶν μισούντων διαφορά:—
Ἐγκράτεια, δουλοῦνται ἐπιθυμίαι:— γόνι-
μοι καταλήψιν ὑπάρχοντες οἱ ἄλλοι καὶ
ὁ λογισμὸς τῷ σώματι ἐμποιῶν τάς,
μᾶλλον τῶν ἄλλων πρὸς τὰς μίξεις τὰ σώ-
ματα ἐρεθίζουσιν:— ὄργανον τῆς φω-
νῆς ὁ λάρυγξ:— πανουργία ἐστίν, ἐνέρ-
γεια πάντων κατ᾽ ἐπιτήδευσιν τεχνικῶν·
ὥσπερ κακουργία, ἢ μόνου τοῦ κακοῦ ἐργασία:—
τὸ τῶν ἀμνημόνων τῶν ἀχαρίστων. εἰς εὐερ-
γεσίαν καταλογίζεται:—

ρνη

— … — … — … — … — … —…— ✶

ΘΕΟ Οὐδὲν θαυμαστὸν εἰ κακοπαθοῦσι καὶ ἅγιοι·
εἴτε εἰς κάθαρσιν καὶ τῆς πικρᾶς ἰλύος, εἴτ᾽
εἰς ἀγῶνα ὃν ἀρετῆς καὶ πεῖραν φιλοσοφίας· εἴτ᾽
εἰς παίδευσιν τῶν ἀσθενεστέρων· ἐν ἐκεί-
νοις μανθανόντων τὸ καρτερεῖν, ἀλλὰ μὴ
ἐκκακεῖν τοῖς πάθεσιν:— Χρόνοι καὶ
λόγοι κινουμένου ἕν ἅπαν καλόν, φύσις καθίστατ:—
μάλιστα ἐν ἀνθρώπου φύσει τὸ κατ᾽ εἰκόνα, ἢ τοῦ νοῦ
δύναμις:— τάξις, συνοχὴ καὶ τῶν ὄντων καὶ τῶν ἐπ:—
ἄλλου τρανωθέντος, ὁ πρῶτος ὑποχωρείτω:—

μέγα τὸ περὶ θεοῦ μὴ ἁμαρτεῖν· ἀλλὰ μεῖζον τὸ ἔργῳ τὸν καθαίρειν θεῷ :— μέγα τὸ διδάσκειν· ἀλλὰ τὸ μανθάνειν ἀκίνδυνον :—

τὸ καλὸν, οὐ καλὸν ὅταν μὴ καλῶς γένηται :— ἔργον, ἀπόδειξις διαθέσεως :— προσεύχομαι τῷ θεῷ, προσεύχομαι καὶ τῷ νοΐ· τουτέστιν, ἐν νοΐ καὶ πνι :— μέγα τῷ ἀτυχοῦντι φάρμακον, ἔλεος ἀπὸ τύχης εἰσφερόμενος· καὶ τὸ συναλγεῖν γνησίως, πολύ τι κουφίζει τῆς συμφορᾶς :— τὸ ἕτοιμον εἰς ἐξουσίαν, ἀργὸν εἰς ἐπιθυμίαν :— ῥᾷον ἀεὶ τὸ διαφθείρειν τοῦ συντηρεῖν :—

ἀφύλακτον ἡ ἀπειρότης· καὶ μετ' αὐτοῦ σαθρὸν τὸ φιλάνθρωπον :— ἀσυλλόγιστόν τι πρᾶγμα ἡ πονηρία· καὶ ὁ λόγος ἐστὶν ὅτι τοῖς μοχθηροῖς ἀντὶ κεντρίοις ποιήσασιν :—

τὸ γὰρ βουλεύεσθαι κακοήθως, ἀδελφός ἐστι νόμος· καὶ τὸ μεῖζον τῶν γεγραμμένων ἰσχυρότερος, τῶν οὐδαμῶς ἀκολουθουμένων :—

[illegible] ἐστιν ἡ πονηρία. καὶ πανταχόθεν ἑαυτῇ περιπίπτουσα :— οὐδὲν γὰρ οὕτω δύσμαχον ἐφιλόνεικον ὡς γαστήρ. καὶ τὸ ἐν χερσὶν ἔχειν τιμωρίαν :— Οὐ τοῦ ἀμελήσαντος ὁ στάχυς, ἀλλὰ τοῦ σπείραντος :—

Ἐὰν τιμᾶται υἱοῦ, πὴρ συνδοξάζεται :— πάσης ἁμαρτίας, θάνατος ἐστὶ ψυχῆς :— Οἷ δ' ἐσταθμίζει ὁ θεός, τῇ δικαιοκρισίᾳ τῶν ἔργων :—

Οὐ τῶν κακῶς τὸ πίπτειν· τῶν δὲ ἀναφθέρο

μένων· ὀλίγοι τὰ βορρυσίων· οἱ πλεῖστοι
δὲ ἀνδρομαίων:– οὐδενὶ γὰρ οὕτως,
ὡς τοῖς ἀγαθοῖς τὸ θεῖον ἐναναπαύεται:–
Οὐχ ὡραῖον γῆραι, παίδων ἀθέρμαντα:– τί
τῶν ὄντων τιμιώτατον· γνῶσις θεοῦ:–
Ὃ γὰρ μή τις πέπονθεν, οὐδ᾽ ἂν ἕτερον πεί-
σειεν· ὁ δὲ παθών, εἰς συγκατάθεσιν ἑ-
τοιμότερος:– τὸ μὲν ῥᾳδίως ληπτὸν,
ἅπαν εὐκαταφρόνητον· τὸ δὲ ὑπερκείμενον
ὅσῳ δυσεφικτότερον, τοσούτῳ θαυμασι-
ώτερον· καὶ γυμνάζει τὸν πόθον, ἅπαν τὸ
διαφέρον τῶν ἑτέρων:– οὐδεὶς ἀγα-
θὸς, εἰ μὴ μόνος ὁ θεός· τὸ ἄκρως ἀγαθὸν
φημί, μόνου θεοῦ:– ἀγαθὸν μὲν δημαῖον,
οὐ χωρικὸν δὲ μὲν δήμιον:–
Χρείαν δὲ καὶ ἐστερημένη ἡ δόξα ἀνοίας ἐπιμέμφε-
ται πολλάκις. περί τε δικαίων καὶ ἀδίκων·
ὑπολαμβάνουσι γὰρ περὶ ἑκατέρων τἀναν-
τίαν· καὶ δίκαιος γὰρ ἴσως ὢν, οὐ τοιοῦτος ἔδοξε·
καὶ πάλιν ὁ ἄδικος, ἐμφερὼν ἐνομίσθη:–
δύο γὰρ ἀνδρῶν τοῖς αὐτοῖς πράγμασιν ὀρθῶς
προσκειμένων· εἰ καὶ θατέρῳ τι μὴ προσ-
πέσοι τι, ἀλλὰ μὴν οὐ μικρὰν ἐπικουρίαν ἔ-
χει τὸν αὐτῷ συμπονοῦντα· μιᾷ ἅτῃ δὲ συμφορᾷ
ἀμφοῖν διαφθορῶνται. καὶ ἡ ἐρημία τοῦ ἀγαθοῦ
κτησομένου:– οἱ δ᾽ αὖ ὁμοδίαιτοι· καὶ τὴν
ἀπραξίαν αὐτοῖς ἐδιπλασίασαν, καὶ πραγμά-
των ἀνοουμένων χεῖ μόνην παρεμυθήσαν

το· ὁ δὲ μόνον ἀκοινώνητον ἕλκων, φρι-
κώδη τιμᾶ ἑαυτῷ διεξάγει ζωήν:—
πᾶς ὁ μωπῶν. κακόδοξος:— μόνου θεοῦ
τὸ παντελῶς ἄπταιστον καὶ ἀναμάρτητον πά-
θειν:— Κρεῖττον μικρὸν ἀγαπᾶσθαι.
ἢ παντελῶς σκοτίζεσθαι:— μικρὸν
κατορθώσας πολλάκις ὁ ἐν τῷ μέσῳ,
πλεῖον ἔσχε τοῦ ἐν ἐλευθερίαι μὴ τὸ πᾶν
κατορθώσαντος. ὥσπερ οἶμαι καὶ
παραδοξότερον ἐν πέδαις μικρὰ
προκαίνειν. ἢ τρέχειν μὴ δεσμοῖς μαρψό-
μενον· καὶ διὰ κορκόρου μικρὰ ῥαντί-
ζεσθαι. ἢ καθαρὸν εἶναι διὰ καθαρᾶς
ὁδοῦ φερόμενον· τεκμήριον δὲ τούτου·
ῥαὰβ τὴν πόρνην ἐν ἐδικαίωσε μόνον.
ἡ φιλοξενία· τἄλλα οὐκ ἐπαινουμένην·
καὶ τὸν τελώνην ἐν ὕψωσεν. ἡ ταπείνωσις:—
Καλὴ θεραπεία χεῖρος ἀρρωστίας, σκορ-
πίζειν· διδόναι τοῖς πένησιν· ἐξαντλεῖν
ὧν ἔχομεν δαψιλῶς· μέχρις ἂν καὶ τοῦ πυ-
θμένος ἁψώμεθα:— σοφῷ καὶ ἄφρονι,
κοινὸν οὐδέν· σοφὸς δὲ οὐδέποτε ἀσυμ-
μάχωι. τοῦ αὐτοῦ κοινωνεῖ τέλους:—
πέπεισμαι τὰ μάλιστα φαῦλα ἄμφω, ἐπιθυμίαν
καὶ θυμηδίαν ὑπάρχειν:— ἂν ἀφὶ ἐπιθυ-
μίᾳ τῇ χρημάτων, οὐκ ἐπιγίνεται κόρος:—
τῶν ἁμαρτιῶν χάριν ἀναφαίνειν, μιαρόν:—
σοφία, καὶ σιδήρου δυνατωτέρα· ἀφροσύνη τοῦ

ἐμὸς πολλοῖς κίνδυνον ἐργάζεται. καὶ
πολὺ εὐκαταφρόνητος ἐστί:—
ταῖς μεγίσταις τῶν διοικήσεων, θεὸς ἀρωγὸς εἰ-
σέρχεται:— τὰ σημεῖα τοῖς ἀπίστοις,
οὐ τοῖς πιστεύουσιν· ἴσως δὲ καὶ τοῖς καιροῖς
ἐκείνοις. καὶ τῇ τότε καταστάσει:—
πόνος ὑγείαν χαρίζεται· καὶ προθυμίαν με-
κροῖς ἀμίανσι· καὶ πηδᾷ γῆρας, χρισθὲν
τοῖς πᾶσι:— καλὴ ἀπορία, εἰδέναι τὸ δι-
ὰ Χριστὸν ἀπορεῖν. τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα:—
Οἰκτρὸν τὸ παῖδας, πατράσι δικάσαι κακῶς:—
οὐκ ἀσφαλές, ὅπλον ἐχθρῷ πιστεύειν:—
ὁ ἐν μικροῖς ἡττώμενος, καὶ ἐν μεγάλοις ἡττᾶται:—
νόμος μαρτυρίας· μήτε ἔχθραν τοῖς πρὸς
τὸν ἀγῶνα χωρεῖν· φειδοῖ τῶν διωκόντων
καὶ τῶν ἀσθενεστέρων. μήτε παρόντας ἀ-
μαθύνεσθαι· τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀναν-
δρίας ἐστίν:— θεοῦ ἐστι φῶς τὸ ἀκρότα-
τον καὶ ἀπρόσιτον· οὔτε νοῒ καταληπτόν, οὔτε
λόγοις ῥητόν· πάσης φωτιστικὸν λογικῆς φύσεως:—
οὐ γὰρ φιλεῖ Χριστὸς πλειστάκις κλεπτόμενος, καὶ
εἰ λίαν ἐπιφιλούμενος:— μὴ κλείσῃς τὰ
ὦτα πρὸς παιδείαν κυρίου καὶ νουθεσίαν, ὡς ἀ-
σπὶς πρὸς ἐπάσματα:— βουλομένων, οὐ
τυραννουμένων ἐστὶ τὸ τῆς σωτηρίας μυστήριον:—
σύνθημά ἐστι, τὸ διδόμενον παρὰ τοῦ στρα-
τηγοῦ τοῖς στρατιώταις παράγγελμα:—
ὀφθαλμοῦ μὲν γὰρ ἀτονίαν ἥλιος· ψυχῆς δὲ ἀρ

ρασίαν ἐλέγχει θεοῦ ἐπιδημιῶν· καὶ τοῖς μὲν ἐστὶ φῶς, τοῖς δὲ πῦρ· ἑκάστοις κατὰ τὴν ὑποκειμένην ὕλην τε καὶ ποιότητα:—

εὐκαταφρόνητον ἅπαν τὸ ῥᾳδίως νικώμενον· καὶ θαυμάζεσθαι μὲν τὸ ὑψηλόν, ἀτιμάζεσθαι τὸ δ' ἀεὶ τὸ πληθυνόμενον:—

μή τις ἐμὸν ἀκινδύνως ἔσεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείτω· μηδ' ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω. ἣ καὶ τὰ ἐπίγεια συνέχει καὶ τὰ οὐράνια:—

ἄμεινον τῷ παντί· προεισφέρειν τοῦ ἐκεῖσε ἐλέου. τὴν ἐνταῦθα χρηστότητα:—

μέγα κακίας φάρμακον. καὶ ὁμόνοια καὶ φυγὴ τοῦ ταράσσοντος:— Οἱ δέον αἰδεῖσθαι κ̄ς πρὸς πομπάν. ὑπὲρ τόκων προσαναλῶσαν:—

Κρείττονα τῶν ἀπὸ σαρκὸς ἐρχομένων. τὰ κατὰ θεὸν γεννήματα:—

Ὁμοίως καὶ τὸ μὲν θεὸς ἀπαράλλακτον. καὶ τὸ ἐκίνητον ἀκοινώνητον:— Ἑκάστοις, τὰ συμπαθῆ φίλα:— ἅπασιν ἡ κουφότης πρὸς ἀναστάτην καθίσταται:— χειροτονεῖ δὲ ῥᾳδίως πολλοὺς μὲν ἀξίους πολλοὺς δὲ ἀναξίους παρὰ τὸ εἰκὸς ὁ καιρός· μᾶλλον δέ, πάντας ἀναξίους:— εὔκολον γὰρ εἰς ἀπάτην τὸ πρὸς ἡδονὴν ἅπασιν:— φιλεῖ τὸ βιασθὲν ὥσπερ φυτὸν νέον καὶ χερσὶ βιαζόμενον, εἰς ἑαυτὸ πάλιν ἀφεθὲν ἀνατρέχειν· τὸ δὲ ἐκ προαιρέσεως, ἐμμονώ

τατόν τε ἅμα καὶ ἀσφαλέστερον· ὁμοίως
δεσμοῖ τηρούμενον :— ταῖς οἷσι γὰρ ὀ-
φθαλμοὶ λύχνοι καὶ τῶν αἰσθήσεων· τὸ
προχειρότατον ὄργανον καὶ ἀσφαλέστατον :—
οὐ γὰρ ἐξ ἀρετῆς μᾶλλον. ἢ κακοφυΐας ἢ προε-
δρίαι· οὐδὲ τῶν ἀξιωτέρων. ἀλλὰ τῶν δυ-
νατωτέρων οἱ θρόνοι :— οὐδὲν χρησιμώ-
τερον τοῦ ἑκόντας ἑκόντων ἄρχειν. οὐ-
δὲ ἀσφαλέστερον :— οὐδὲν γὰρ οἱ μὲν τί-
μιον. ὃ μὴ πρὸς ἀρετὴν φέρει. μὴ δὲ ποιεῖ
βελτίους τοὺς περὶ αὐτὸ σπουδάζοντας :—
μάλιστα γὰρ ἐστὶ κουρία τοῖς ἀτυχοῦσι. μετὰ τῶν
μετ᾽ ἐλπίς· καὶ τὸ κρεῖττον ἐν ὀφθαλμοῖς
κείμενον :— φιλεῖ γὰρ τὸ μὲν πόνῳ κτη-
θὲν. μᾶλλον κρατεῖσθαι· τὸ δὲ ῥαδίως κτη-
θὲν. καὶ ἀποπτύεσθαι ταχέως. ὡς πᾶν μὴ
μεθ᾽ ἱδρῶτος δυνάμενον :—
Καὶ γὰρ οὕτως ἔχει· ἐν τοῖς ἀμφιλόγοις ῥέπειν
χρῆναι πρὸς τὸ φιλικώτερον· καὶ ἀπογινώσκειν
μᾶλλον. ἢ καταγινώσκειν τῶν ὑπαιτίων :—
Οὐ γὰρ μικρὸν δύνασθαι καὶ λόγον εἰς ἀνδρεί-
ας προσθήκην. τοῖς ἀποδυομένοις πρὸς τὸ
τῆς ἀρετῆς στάδιον :— ἴσασι γὰρ θαυμά-
ζειν ἀνδρῶν ἀρετὴν καὶ πολέμιοι· ὅταν τοῦ
θυμοῦ μείζων τις. ἡ πρᾶξις ἐφ᾽ ἑαυτῆς δοκιμάζηται :—
Εἰ γὰρ καὶ κλίνει θεὸς διὰ φιλανθρωπίαν ἐκ τοῦ ἀποτό-
μου πρὸς τὸ ἐνδόσιμον. ἀλλ᾽ οὐ πᾶν τι συγχω-
ρεῖ τοῖς ἁμαρτάνουσιν· ἵνα μὴ τῇ χρηστότη-
τι. χείρους γένωνται :—

μὴ ταχὺς εἶναι εἰς κρίσιν, ὑπὸ τῆς γραφῆς
νενουθέτημαι :— τὸ μονάζειν ἐν τῇ
ἀληθείᾳ τοῦ τρόπου μᾶλλον, ἢ τῇ τοῦ σώ
ματος ἀναχωρήσει χαρακτηρίζεται :—
Οὐδὲν οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἂν
τι διδόμενον ἀδεῶς :— θεοὶ γὰρ ζῶ
σι πάντες οἱ κατὰ θεὸν ζῶντες, κἂν ἐν
θεῷ δὲ ἀπαλλαγῶσιν :— οἱ κόσμου χω
ρίζοντες ἑαυτοὺς καὶ τὴν ἔρημον ἀσπαζό
μενοι. ζῶσι θεῷ πάντων μᾶλλον τρεφό
μενοι ἐν σώματι :— ... — ... — ... — ..
ἰσ ☧ Οὐ μικρὰ ἡ χεὶρ κῦ τοῦ ἐξελέσθαι· οὐδὲ ἐβα
ρυκκοώσεται τοῦ εἰσακοῦσαι· ἀλλ' αἱ ἁμαρ
τίαι ἡμῶν. διεχώρισαν ἡμᾶς ἀπ' αὐτοῦ.
καὶ αἱ ἀνομίαι ἡμῶν. ἀπέστρεψαν τὸ πρό
σωπον αὐτοῦ τοῦ μὴ εἰσακούειν :—
Οὐδεὶς ἀλλοτρίᾳ προαιρέσει· ἀλλὰ τῇ οἰκείᾳ
χρηστὸς πέφυκεν :— οὐ λόγων, ἀλλ' ἔρ
γων οἱ μισθοὶ δίδονται :— ὁ ἐν μικρῷ οὐ
τίμιος γενόμενος, μὴ συμβεβαιώσῃ καὶ πονηρόν :—
ἀνὴρ ἀπείρασος, ἀδόκιμος :— εἴ τις προ
φανῶς ἁμαρτάνων καὶ μὴ μετανοῶν· οὐ
δὲν ἔπαθεν ἕως ἐξόδου αὐτοῦ, τοῦτον νόμιζε
ἀνέκκλητον εἶναι τὴν κρίσιν :— ἀφροσύνη
δαιμόνων, ἡ τῶν ἀνθρώπων ἀπώλεια :—
Οὐχ ὁμοίως ἅπαντας τοὺς ἁμαρτάνοντας.
ὁ τῶν ὅλων παιδεύει θεός· ἀλλὰ τοὺς μὲν
οἰκειουμένους αὐτῷ, ἰατρικῶς. δικαστικῶς
δὲ τοὺς ἄλλους :—

οὐ πάντοτε ἀνταποδοτικῶς αἱ κολάσεις φέρονται· ἀλλ' εὐθετικῶς τε καὶ δοκιμαστικῶς· ἵνα δοκιμασθῶσιν οἱ δίκαιοι:—

οὐδὲ γὰρ ἀεὶ πάντα ἡμῖν ἐπιτίθεται τὰ πάθη· ἀλλ' ἐν μὲν τῇ πρώτῃ ἡλικίᾳ, πολὺ τὸ ἀνόητον καὶ μικρόψυχον· ἐν δὲ τῇ μετ' ἐκείνην, σφοδροτέρα ἡ ἡδονή· καὶ μετὰ ταύτην πάλιν, ἡ τῶν χρημάτων ἐπιθυμία:—

τὰ παρὰ τῶν φίλων κἂν μικρὰ τυγχάνῃ, μεγάλα τοῖς ποθοῦσι φαίνεται:—

κἂν ἀγαθὸν ἐργάσηταί τις μέγα καὶ γενναῖον· μὴ μετὰ πόνου δὲ καὶ κινδύνου καὶ παθημάτων, οὐ πολύν τινα λήψεται μισθόν· ἕκαστος γάρ φησι τὸν ἴδιον μισθὸν λήψεται, κατὰ τὸν ἴδιον κόπον· οὐ κατὰ τὸ μέγεθος τοῦ κατορθώματος. ἀλλὰ κατὰ τὸν ὄγκον τοῦ παθήματος:— οὐ γὰρ ὁ ὀφθαλμός ἐστιν ὁ ὁρῶν. ἀλλ' ὁ νοῦς καὶ ὁ λογισμός· πολλάκις γὰρ ἀλλαχοῦ περιπλανωμένων ἡμῶν, ὁ ὀφθαλμὸς τοὺς παρόντας οὐ βλέπει· ὥστε οὐκ ἔστιν αὐτοῦ τῆς ἐνεργείας τὸ πᾶν:—

χρημάτων μὲν γάρ, εὔκολον καταφρονῆσαι τοῖς βουλομένοις· τῆς δὲ παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, πολλοῦ δεῖ πόνου. μεγάλης φιλοσοφίας· ψυχῆς τινος ἀγωνικῆς:—

ψυχὴ τιμῆς ἐπιθυμοῦσα καὶ τοῦ δοξάζεσθαι. οὐκ ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν:—

τῇ μὲν κακίᾳ, ἡ ἡδονή· τῇ δὲ ἀρετῇ συγκεκλήρωται πόνος καὶ κίνδυνος:—

πᾶς ὑπὲρ πρς οὐδ' ἰδίως δίκαιος· καὶ ὁ μω-
σῆς φησίν· οὐκ ἀποθανεῖται πὴρ ὑπὲρ τέκνου:—
ἔρχεται καὶ δι' ὁμήγυρις. ἐστὶ δῆμον κακῶν· καὶ
μοχθηρίας τιμός. παραπτώματος δῆμος:—
ἁμαρτάνων εἷς, ἀπολέσει ἀγαθωσύνην
πολλήν:— Ἡ σὰρξ ἐπιθυμεῖ φησὶ κατὰ
τοῦ πνς· τὸ δὲ πνα κατὰ τῆς σαρκός·
περὶ δύο φησὶ λογισμῶν· περὶ ἀρετῆς καὶ
κακίας· αὗται γὰρ ἀλλήλαις ἀντίκειν-
ται, ὡς ἡ ψυχὴ καὶ τὸ σῶμα:— τὸ ὁμόνοια
ἐστίν. ἀρ πᾶν ἔννομος; μία. μόνον ἔχουσα
σύγκροτον:— Οὐδὲν οὕτως ἀνίστησι ψυ-
χὴν καὶ πτεροῖ· ὡς ἐμμέλεια φωνῆς καὶ ῥυ-
θμῷ συγκείμενον ᾆσμα:— Ἔνθα μὲν
ᾄσματα πορνικά, δαίμονες ἐπισυρρέον-
ται· ἔνθα δὲ μέλη πνικά, ἡ τοῦ πνς ἐ-
φίπταται χάρις:— Τὰ βρώματα
τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν·
κοιλίαν λέγει τὴν γαστριμαργίαν τὴν ἄ-
μετρον ἐπιθυμίαν· βρώματα τὴν τρυφήν·
τουτέστι, τὰ βρώματα πρὸς τὴν γαστρι-
μαργίαν ἔχει φιλίαν· καὶ αὐτὴ πρὸς ταῦτα:—
ἀσφαλὴς φύλαξ τῶν δι' ἀρετῆς σωζομένων,
τὸ δάκρυον:— Βελίαρ λέγεται ὁ ἀποστάτης
τῇ ἑβραϊκῇ φωνῇ:— Θεωρῶν ὀφθαλ-
μὸς καλά, εὐφραίνει καρδίαν· φήμη δὲ
ἀγαθή, πιαίνει ὀστᾶ:— Ὁ καταγνοὺς ἑαυ-
τοῦ, διπλῆ τὸν θν ἐξιλεοῦται· καὶ τῷ ἐπιγνῶ

μαι τὰ ἁμαρτήματα. Καὶ τῷ πρὸς τὸ μέλλον ὀκνηρότερος γίνεσθαι:—

ἴσως ἀποπνίγεσθαι μᾶλλον ὑπὸ τῆς ἐνδείας:—

Οἷ δέον καὶ φίλοι μὴ πολλάκις καθελεῖν καὶ ἀνακτήσασθαι τύχην· καὶ τὴν οἰκοῦσαν προθυμίαν ἐμβαλεῖν, καὶ τὴν οὖσαν καταλῦσαι πάλιν:—

Τὸ συναλγεῖν τοῖς ἐν συμφοραῖς οὖσι. πολλὴν ἡμῖν πρὸς τὸν θεὸν δίδωσι παρρησίαν· ἡ γὰρ κοινωνία τῶν λυπουμένων, τὸ σφόδρα φορτικὸν τῆς λύπης ἀφαιρεῖν εἴωθεν:—

Εἰ καθ' ἑκάστην ἡμέραν ἀπῄτει τὰ δίκαια ὑπὲρ τῶν πεπλημμελημένων ὁ θεός, προανηρπάσθη ἂν τὸ γένος τῶν ἀνθρώπων· οὐ γάρ ἐστιν οὐκ ἔστιν ἡμέρα, ἁμαρτημάτων καθαρά· ἀλλ' ἢ μέγα, ἢ μικρόν τι προσκρούομεν:—

Οὐδέποτε ὁ θεὸς εἰς τέλος ἐγκαταλιμπάνει τοὺς αὐτῷ προστρέχοντας· ἀλλὰ μείζονα ὧν ἀποστεροῦσιν οἱ ἐχθροί, δίδωσιν αὐτὸς τὰ δῶρα:—

Φιλόνεικόν ἐστι τὸ γυναικεῖον ζῷον καὶ ἔντονον· κἂν εἰς πονηρίαν ἀποκλίνῃ, μεγάλα ἐργάζεται κακά· κἂν ἀρετῆς ἐπιλάβηται τὴν ψυχὴν προήσεται πρότερον. ἢ τῆς προθέσεως ἀποστήσεται:—

Πᾶσα σύνοδος ἑορτή· μᾶλλον δὲ τὰς ἑορτὰς οὐ τὸ πλῆθος, ἀλλ' ἡ ἀρετὴ τῶν συνειλεγμένων ποιεῖν εἴωθεν· οὐχ ἡ πολυτέλεια τῶν ἱματίων. ἀλλ' ὁ τῆς εὐσεβείας καλλωπισμός. οὐχ ἡ δαψίλεια τῆς τραπέζης, ἀλλ' ἡ τῆς ψυχῆς πρόνοια. ἑορτὴ γὰρ μεγίστη, συνειδὸς ἀγαθόν:— ὁ μὲν ἐν δικαιοσύνῃ ζῶν καὶ κατορθώμασι. καὶ μὴ παρούσης ἑορτῆς. ἑορτὴν ἄγει. τὴν καθαρὰν ἡδονὴν καρπούμενος. τὴν ἀπὸ τοῦ συνειδότος. ὁ δὲ ἐν ἁμαρτίαις καὶ πονηρίαις στρεφόμενος καὶ πολλὰ κακὰ συνειδὼς ἑαυτῷ. καὶ παρούσης ἑορτῆς. ἀνέορτος μάλιστα πάντων ἐστίν. ὥστε ἔξεστιν ἡμῖν ἐὰν θέλωμεν καθ' ἑκάστην ἡμέραν ἑορτὴν ἄγειν. ἂν ἀρετῆς ἐπιμελώμεθα. καὶ τὸ συνειδὸς ἡμῶν ἐκκαθαίρωμεν:—

Οὐκ ἀρκεῖ τὰ θεῖα λόγια ἐπελθεῖν μόνον. ἀλλὰ δεῖ καὶ τῆς τῶν ἔργων ἐπιδείξεως. ὅπερ γὰρ ἐπὶ τῆς κιθάρας ἡ τέχνη, τοῦτο ἐπὶ τῶν τοῦ θεοῦ νόμων. ἡ διὰ τῶν ἔργων ἐπίδειξις:—

+ ὅτι οὐκ ἀρκεῖ
εἷς νόμος ἡμῖν
εἰς σωτηρίαν. ἀλλὰ
δεῖ πάντας
μετ' ἀκρι-
βείας φυ-
λάττειν:—

Οὐκ ἀρκεῖ μόνος ἡμῖν εἰς σωτηρίαν εἷς νόμος. ἀλλὰ δεῖ πάντας μετὰ ἀκριβείας φυλάττειν:—

Πλοῦτος θεοῦ, τῶν ἀνθρώπων ἡ σωτηρία. καθά φησιν ὁ ἀπόστολος. πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν:—

Ἀεὶ ὁ θεὸς τοὺς ἀξίους τοῖς κινδύνοις ἐκδίδωσιν. ἵνα δι' ἐκείνων δειχθῇ τῆς εὐσεβείας ἡ δύναμις:— Τὸ μαρτύριον ἀδελφοὶ οὐ τῇ ἀποφάσει κρίνεται μόνον. ἀλλὰ καὶ τῇ προθέσει. οὐκ ἐπειδὰν ἀποτμηθῇ ὁ μάρτυς. ἀλλ' ἀφ' οὗ ἂν τὴν πρόθεσιν ἐπιδείξηται τῆς ὁμο

μονίας μάρτις ἐστί. κἂν μὴ πάθῃ τὰ μαρτίρος· καὶ μάρτις ὁ μακάριος παῦλος λέγων· καθ᾽ ἡμέραν ἀποθνήσκω. νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν χ̅ῷ̅:— ἴδιον ἁγίων. πολλάκις πάσχειν ὑπὲρ τῶν ἀσεβούντων· ὥσπερ μηδὲν ἡμαρτηκώς, ὑπὲρ τῶν ἁμαρτωλῶν παραδίδοται· ὥστε μιμηταί εἰσι τοῦ χ̅ῦ̅, οἱ ὑπὲρ ἀδίκων πάσχοντες:—

Ὁ θ̅ς̅ ὅταν ἐπάγῃ παιδείαν· ἢ δίκην ἀπαιτεῖ τῶν ἁμαρτημάτων. ἢ τὴν ἀρετὴν γυμνάζει τῶν θείων κατορθωμάτων:— Δικαίῳ νόμος οὐ κεῖται· ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις:— Οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, τῶν ἐν τοῖς οὐρανοῖς ἀπολαύσονται καλῶν. οἱ δὲ ἐγκληθῶσι μὲν μηδὲν ἔχοντες κακόν. ἐλλείποντες δέ τι τῶν ἀγαθῶν. μετὰ τῶν τὰ κακὰ ἐργασαμένων. εἰς τὸ τῆς γεέννης ἀπαχθήσονται πῦρ· τὸ γὰρ μὴ ποιῆσαι ἀγαθόν· τοῦτό ἐστι τὸ ποιῆσαι κακόν· εἰπὲ γάρ μοι· εἰ τινὰς οἰκέτας ἔχοις μήτε κλέπτοντας μήτε ὑβρίζοντας. μήτε ἀντιλέγοντας· ἀλλὰ καὶ μέθης κρατοῦντας καὶ τῶν ἄλλων ἁπάντων. καθήμενον δὲ διαπαντὸς ἀργόν· καὶ οὐδὲν τῶν ὀφειλομένων παρὰ οἰκέτου δεσπότῃ πληροῦσθαι ποιοῦντας, οὐ μαστιγώσεις· οὐ τιμωρήσεις αὐτόν εἰπέ μοι; —

μὴ τοίνυν ἀλύωμεν ὅταν εὐπαθοῦντας ὁρῶμεν ἐνταῦθα τοὺς ἁμαρτωλούς· ἀλλ᾽ ὅταν

κακῶς πάσχωμεν αὐτοὶ χαίρωμεν· ἁμαρτιῶν γάρ ἐστι τὸ πρᾶγμα ἔκτισις:—

τρεῖς καταπαύσεις εἰσί· μία ἡ τοῦ σαββάτου· ἐν ᾗ ὁ θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέρα ἡ τῆς παλαιστίνης· εἰς ἣν εἰσελθόντες οἱ ἰουδαῖοι. ἔμελλον ἀναπαύεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτη, ἡ ὄντως ἀνάπαυσις ἡ βασιλεία τῶν οὐρανῶν· ἧς οἱ τυχόντες, ἀναπαύονται ὄντως τῶν πόνων καὶ τῶν μόχθων:—

γίνεται πολλάκις τὸ τῆς τιμῆς μέγεθος. ἐφόδιον τιμωρίας μείζονος:—

ὁ χρήμασι δουλεύων. καὶ τοῖς ἐνταῦθα ἀνιᾶται καὶ τοῖς ἐκεῖ ἔσται ὑπεύθυνος:—

φορτικὸν ἀεὶ τοῖς πολλοῖς ἡ ἀλήθεια:—

γλυκεῖα δούλων ἀκοαῖς, δεσποτικῶν θαυμάτων διήγησις:—

τὸ μέγα φρονῆσαι καὶ μικρὸν, φρονίμως πλέον ἐκτήματα καὶ ἐργάζομαι· πολλὰ γὰρ τῶν τῆς φύσεως πλεονεκτημάτων καὶ μικροῖς πρόσεστιν.

δικαιοσύνη δικαίου φησὶν, ἐπ' αὐτὸν ἔσται· καὶ ἀνομία ἀνόμου. ἐπ' αὐτὸν ἔσται:—

δόξα πατέρων. ὁσιότης παίδων· καὶ τιμὴ δεσποτῶν, οἰκετῶν φόβος:—

τὰ πάθη ἔσθ' ὅτε καὶ συγχωρεῖ τοῖς ἁγίοις. μὴ ὑποκείμενος χαλινοῦ εἰργόμενα:—

οὔτε πᾶς ὁ προφητεύων ὅσιος, οὔτε πᾶς

ὁ δαίμονας ἐκβάλλων ἅγιος. καὶ γὰρ καὶ Βαλαὰμ ὁ μάντις προεφήτευσε δυσμενὴς ὤν. καὶ Καϊάφας ὁ [illegible] ἀρχιερεύς. πολλὰ δὲ καὶ ὁ διάβολος προλέγει. καὶ οἱ ὑπ᾽ αὐτὸν δαίμονες:—

Σοφὸς καὶ εὐμήχανος ὢν ὁ θεός. καὶ διὰ ἀναξίων πολλάκις συγχωρεῖ προλέγεσθαι θαυμαστὰ καὶ μεγάλα πράγματα. καὶ οὐκ ἐν τῇ παλαιᾷ μόνον τοῦτο. ἀλλὰ καὶ ἐν τῇ καινῇ. καὶ ἄκουε τοῦ εὐαγγελιστοῦ περὶ τοῦ Καϊάφα. τοῦτο δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν. ἀλλ᾽ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν. ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνήσκειν. τοιοῦτον καὶ ἐπὶ τοῦ Βαλαὰμ γέγονεν. κληθεὶς γὰρ καταράσασθαι τὸν λαόν. οὐ μόνον οὐ κατηράσατο. ἀλλὰ καὶ προεφήτευσε περὶ τῆς τοῦ σωτῆρος ἐπιδημίας:—

Οὐχ ὁ τόπος τὴν ἀρετήν. ἀλλ᾽ ἡ ἀρετὴ πέφυκε τὸν τόπον σεμνύνειν:— Οὐχ ὁ τόπος τὸν ἄνθρωπον ἁγιάζει. ἀλλ᾽ ὁ ἄνθρωπος τὸν τόπον:—

Οὐ τόπων ἡ χάρις. ἀλλὰ τοῦ πνεύματος:—

Οὐ τόπων ἐπιτηδειότης. ἀλλὰ τρόπων ἀκρίβεια. τὴν ἡσυχίαν ἡμῖν παρέχει:—

Εὐλογία ἐστὶ μετάδοσις ἁγιασμοῦ. ὁ δὲ τοῦτο μὴ ἔχων διὰ τὸ ἐκ τῆς ἀνοίας παρα[illegible]. πῶς ἑτέροις μεταδώσει:—

Τὰ τῆς φύσεως προτερήματα. οὐ τῶν ἐχόντων. ἀλλὰ τοῦ δεδωκότος ἐστὶν ἔπαινος καὶ ἐγκώμιον:—

Οὐχ οὕτως ἁμαρτία κακόν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία:— Οὐ σημεῖον ἀνθρώπου καθαροῦ χρεία:—

Οὐκ ἐν τῇ φύσει τὰ τῆς κακίας ἔγκειται, ἀλλ' ἐν τῇ γνώμῃ καὶ ἐν τῇ προαιρέσει:—

Καλὸν γὰρ ἡμῖν ὥς φησι τὰ λόγια μὴ εὔξασθαι ἢ εὐξαμένοις μὴ ἀποδοῦναι:—

Ἀπὸ τοῦ τέλους ἀεὶ τὰ πράγματα κρίνεται:—

Τοῖς ἀξίοις αἱ εὐχαὶ τῶν δικαίων ὠφελοῦσιν, οὐ τοῖς ἀναξίοις. καὶ ὃ δὲ καὶ μάλα θαυμαστόν· οὔτε γὰρ τὸν Σαοὺλ κακιάζοντα ὠφέλησεν ὁ Σαμουὴλ εὐξάμενος, οὔτε τοὺς Ἑβραίους ἁμαρτωλοὺς ὄντας, ὁ Μωϋσῆς:—

Οἰκειοῦσθαι ὁ διδάσκαλος τὰ τοῦ μαθητοῦ πέφυκεν, εἴτε ἐγκλήματα εἴτε κατορθώματα:— Τρία ταῦτά ἐστιν, οἷς μόνοις δονεῖται τὰ ἀνθρώπινα· σώματα, χρήματα, καὶ δόξα:— Σοφός τις παραινεῖ λέγων· ἤκουσας λόγον, ἐναποθανέτω σοι· θάρσει οὐ μή σε ῥήξῃ· καὶ πάλιν ὁ αὐτός φησιν· ἤκουσε λόγον ὁ μωρὸς καὶ ὠδίνησεν, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα. Πρὸς κατηγορίαν ἐσμὲν ἕτοιμοι· πρὸς κατάκρισιν παρεσκευασμένοι· κἂν μηδὲν ἕτερον ἡμῖν εἰργασμένον εἴη κακόν, τοῦτο ἱκανὸν ἡμᾶς ἀπολέσαι, καὶ εἰς γέενναν ἀπαγαγεῖν:— Ἀνθρωπίνη φύσις ἀναλγήτως πάσχειν οὐ πέφυκεν:—

τῆς συν-
νόδου· πᾶς πιστὸς ἕωθεν ἀναστὰς ἐξ ὕπνου πρὸ
τοῦ ἔργον ἐπιτελέσαι. μετανοίας προ-
Θεο(λόγου) σευχέσθω:— Κτῆσιν ἀρετῆς, ἐπικόπτει
κακία· καὶ μύρον ἀμαυροῖ, παροῦσα δυσωδία:—
· γνώμης, οὐκ ἀνάγκης ἡ ἀρετή:— οὐ πέφυ-
κε τοῖς αἰσχρῶς κτῶσι, παραμένειν ὁ πλοῦ-
Νύσσης τος τῆς χάριτος:— μάλιστα τοῖς πολλοῖς
ἐπὶ τὰ ἐναντία παράκλησις γί(νεται) καὶ προτρο-
πή, ἡ τῶν ἀγαθῶν ἀνδρῶν δυσφημία:—
Ἰώβ· ἀκοὴν ὠτὸς, ἤκουόν σου τὸ πρότερον· νυνὶ
δὲ ὁ ὀφθαλμός μου εἶδέ σε. καὶ ἐξουθένησα
ἐμαυτόν· ἥγημαι ἐμαυτὸν, γῆν καὶ σποδόν:—
Κε· ἅπαξ ἐλάλησα· ἐπὶ δὲ τῷ δευτέρῳ οὐ μὴ
προσθήσω· τίς γάρ εἰμι κρινόμενος ἐναν-
ἀπο(στόλου) τίον κυ(ρίου):— Καὶ πνεύματα προφητῶν, προ-
φήταις ὑποτάσσεται· οὐ γάρ ἐστιν ἀκατα-
στασίας ὁ θ(εό)ς, ἀλλ' εἰρήνης καὶ τάξεως:—
Ἰσαάκ· Ἕκαστον πρᾶγμα εἰς ὃ καυχᾶται ἄν(θρωπ)ος, παρα-
χωρεῖ αὐτὸ ὁ θ(εὸ)ς ἀλλοιωθῆναι, ἵνα ταπεινωθῇ
Ἀπολλω- ὁ ἄν(θρωπ)ος:— Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε.
ρίτου· οὐδὲ ἡ σελήνη τὴν νύκτα· φασὶ καὶ τὴν
σελήνην, μὴ μόνον ὑγράν, ἀλλὰ καὶ θερμὴν
εἶναι· καὶ καίειν ὁμοίως τῷ ἡλίῳ τὰ σώματα:—
☧ Οὐδὲν οὕτω πρὸς ἄμυναν ἄχρηστον, ὡς ἡ τῶν
ἀν(θρώπ)ων φύσις:— ἀκολουθεῖ ταῖς τῶν ὁσίων
γνώμαις, ἡ θεία κηδεμονία:— φασὶ τὴν ἴα-
σπιν, φοβερὰν εἶναι θηρίοις καὶ φάσμασιν· ἀμ-
αλαμιῶν, ἰατρεύειν καὶ οἰδήματα καὶ τὰ ἀπὸ σιδήρου
πλήγματα ἐπιχριομένην:—

θεοδωρί-
του
ἐμέμφετο δὲ καὶ ἀπολλὼ πολλά, τοὺς τὰ σι-
δηρᾶ φοροῦντας καὶ τοὺς κομῶντας. οὗτοι
γὰρ ἐνδεικτικῶς φησί. καὶ τὴν ἀνθρωπα-
ρέσκειαν τηροῦσι. δέον αὐτοὺς μᾶλλον νη-
στείαις ἐκλύειν τὸ σῶμα. καὶ ἐν κρυπτῷ
τὸ καλὸν ἐργάζεσθαι:—

προφή-
του
ἐὰν μὴ διαστείλῃς τῷ λαῷ, ἐκεῖνος
μὲν ἀποθανεῖται ἐν τῇ ἁμαρτίᾳ αὐ-
τοῦ· τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου
ἐκζητήσω:— τίς δώσει ἐπὶ τοῦ
διανοήματός μου μάστιγας. ἵνα ἐν τοῖς
ἀγνοήμασί μου μὴ φείσωνται:—
φίλον ἑκάστῳ τὸ ἴδιον:— ἀφωνίαν μὲν

κλίμα-
κος
σιωπώμενος πολλοί. ἀπάθειαν δὲ οὐδεὶς
ἐκ τῆς αὐτῆς· τοῦτο γὰρ χρόνου. καὶ πόθου
πολλοῦ καὶ θεοῦ:— φείδου τῆς γλώσ-
σης προϊών. οἶδεν γὰρ συντόμως πολ-
λοὺς καμάτους σκορπίζειν:—

ππ
λευκί
Ὅταν γὰρ ἀναπαύηται τὸ σῶμα, τότε σχο-
λάζει τὸ ἕλκος νοσεῖν:—

ἑλλ^ε
πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν. καὶ
τῇ φλογὶ ᾗ ἐξεκαύσατε:— τότε γὰρ

ἀθ^α
μάλιστα νόμος κρατεῖ, ὅταν ὁ νομοθετῶν
μάλιστα πρῶτος πληρώσει τὸν νόμον·
ὁ γὰρ νομοθετῶν καὶ μὴ πληρῶν, καθαι-

θεοδ^ω
ρέτης ἐστὶν ἢ νομοθέτης:— λυσιτελέστερον
τοῖς κακοῖς οἰκοδόμοις. ἢ τῆς πονηρᾶς
οἰκοδομίας καταλύσεις:—

θεο Οἱ ὀξέως προκαίμενοι τῆ, ταχέως προσκόπτουσιν:–

σιρα͞χ αἱ ὁδοὶ τῶν δικαίων, ὅμοιος

προφη͞τ φωτὶ λάμπουσιν:– Καιρῷ δεκτῷ

ἐπήκουσά σου· καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοή-

μάρκου θησά σοι:– Ὁ κ͞ς εἰς τὰς ἰδίας ἐκέκρυπται ἐν τολαῖς· καὶ τοῖς ζητοῦσιν αὐ-

τὸν κατὰ ἀναλογίαν εὑρίσκεται:–

Ὅσον γὰρ ἐγγίζουσιν οἱ ἄ͞νοι τῷ θ͞ῷ, τοσοῦ-

τον ὁρῶσιν ἑαυτοὺς ἁμαρτωλούς:–

Τὸ σημεῖον τοῦ μοναχοῦ, ἐν τοῖς πειρασμοῖς φαίνεται:– Ἡ δοκιμὴ τοῦ κυβερνήτου, ἐν τῷ καιρῷ τοῦ κλύδω-

νει νος φαίνεται:– Οἷς οὐκ ἔστι κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα:–

Ἡ διάκρισις, ἐστὶ πηγὴ καὶ ῥίζα καὶ κεφαλὴ καὶ σύνδεσμος πασῶν τῶν ἀρετῶν:–

σο ἀνδρὸς λυπηροῦ, ξηραίνεται ὀστᾶ:– Τὸ

μυστήριόν μου, ἐμοὶ καὶ τοῖς ἐμοῖς:–

δαδ Ἐγγὺς κ͞ς, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν

προφη͞τ ἐν ἀληθείᾳ:– Ἐν νυκτί. ἔσται ἐμπτὶς

πονηρά:– Οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ

συμβήσεται αὐτῷ κατὰ τὰ ἔργα τῶν

χειρῶν αὐτοῦ:– Ἡ δόξα τοῦ κόσμου τού-

του, ὡς δρόσος πρωϊνή· καὶ ὡς νεφέλη πο-

ἱερε͞μ ρευομένη:– Σοφοί εἰσι τοῦ κακοποιῆσαι·

τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἔγνωσαν:–

Εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ· καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς· καὶ ὑμεῖς δυνήσεσθε ἀποιῆσαι μεμαθηκότες κακά :—

βασι Νεφροῖς ὁ προφήτης τοὺς λογισμοὺς ὀνομάζει· ἐπειδὴ τὸ ἐπιθυμητικὸν ἐν τοῖς νεφροῖς ὄν, ἀνακινεῖ πολλάκις τὸν λογισμόν :—

μάρκου Διὰ θελήματος τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἑτοιμάσαι· ὁμοίως καὶ τὰ κακὰ διὰ κενοδοξίας καὶ ἡδονῆς :— Ἐκφεύγει ἁμαρτίας ὁ παρὰ ἀνθρώπων ἀδικούμενος· καὶ ὁμοίαν τῆς θλίψεως εὑρίσκει ἀντίληψιν :—

Ὁ ποιήσας ἐντολὴν, ἐκδεχέσθω τὸν ὑπὲρ αὐτῆς πειρασμόν· ἡ γὰρ εἰς Χριστὸν ἀγάπη δι' ἐναντίων δοκιμάζεται :—

Ὁ ἐκτὸς προσευχῆς καὶ ὑπομονῆς πειρασμοὺς νικῆσαι θέλων, οὐκ ἀπώσεται αὐτούς· ἀλλὰ πλέον ἐμπλακήσεται :—

Φεῦγε πειρασμὸν, δι' ὑπομονῆς καὶ δεήσεως. Εἰ δὲ ἐκτὸς τούτων ἀντιτάσσῃ, περισσοτέρως ἐπέρχεται :— Πᾶσα ἁμαρτία, ἢ διὰ φιληδονίαν· ἢ διὰ φιλαργυρίαν· ἢ διὰ φιλοδοξίαν γίνεται :—

μαξίμου Καρπὸς μετανοίας, ἀπάθεια ψυχῆς· ἀπάθεια δὲ, ἐξάλειψις ἁμαρτίας· οὔπω δὲ ἔχομεν τελείαν ἀπάθειαν, ποτὲ μὲν ὀχλούμενοι ὑπὸ τῶν παθῶν, ποτὲ δὲ μὴ ὀχλούμενοι :— Ἄμεινον ἡ μετὰ λόγου οἰνοποσία, τῆς μετὰ τύφου ὑδροποσίας :—

θεο Χρόνος ἐστὶ, τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα :—

οὐ γὰρ ἀβέβαιος ἡ ἀρχή. καὶ τὸ τέλος ἀνίσχυρον:— τὰ πράγματα, τῶν ὀνομάτων ἰσχυρότερα:— ἄνος ἐστί. ζῷον λογικὸν θνητόν· νοῦ καὶ ἐπιστήμης δεκτικόν:—

ἴδιον θῦ. ἀφίστασθαι ἁμαρτίας:—

ἄλλαι ἡ πλησίον τῶν χορῶν διαγωγή, πολλάκις καὶ τοῖς τελείοις ἔβλαψε. διόπερ καὶ ὁ δαδ ψάλλει, τοιοῦτόν τι πεπονθώς· ἰδοὺ ἐμάκρυνα φυγαδεύων. ϛ ηὐλίσθην ἐν τῇ ἐρήμῳ:—

Οἷς μὲν γὰρ καθ᾽ ἡδονὴν ἡ τροφὴ προσφέρεται; εὐθαλὴς ὁ τοῦ σώματος ὄγκος ἐστίν. οἷς δὲ τὸ ἐναντίον συμβαίνει, ἄτροφος ϛ λεπτὴ ἡ σὰρξ τυγχάνει:— ὁ ἀποταξάμενος ἐπὶ τὰ χείρω, οὐδὲ ἐν τοῖς ὀλίγοις στῆναι δύναται· ἀλλ᾽ ὥσπερ ἐν βυθῷ τῆς ἀπωλείας φέρεται:— οἱ δαίμονες, στοχάζουσι μᾶλλον ἢ προγνῶσαι:—

Οὐδεὶς ἡμῶν κρίνεται διὰ τί οὐκ οἶδας τὰ μέλλοντα, διὰ τί οὐ προείρηκας. ἀλλ᾽ ἐν τούτοις [illegible] ἕκαστον τὴν κρίσιν. εἰ τὴν πίστιν τετήρηκε. ϛ τὰς ἐντολὰς γνησίως ἐφύλαξεν· ὅθεν εὔχεσθαι χρὴ οὐχ᾽ ἵνα προγινώσκωμεν· οὐδὲ τούτων τῆς ἀσκήσεως ἀπαιτεῖν μισθόν· ἀλλ᾽ ἵνα συνεργὸς ἡμῖν εἰς τὴν κατὰ τοῦ διαβόλου νίκην, ὁ κς γένηται:— ἀφροσύνη ἐστὶ μοναχῷ θαρρεῖν τι ἢ κινεῖσθαι παρὰ τὸ πρέπον. ἢ παρρησιάζεσθαι· τὴν γὰρ παρρησίαν, χα μεσωτέραν εἶναι πάντων τῶν παθῶν, οἱ πατέρες ὁρίζονται:— Οὕτως ὀφείλει ὁ μοναχὸς πᾶν τὸ θέλημα ἑαυτοῦ περισκοπεῖν καὶ ἀκίνητον ἔχειν πρὸς τὴν ἔσω τοῦ φυλακίου τὸ τῆς ψυχῆς ὄμμα, ὡς ἐν μέσῳ παίδων διδάσκων ἀεί:—

ἱερε Ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσῃ· ἐὰν γάρ τινα τῶν πλανωμένων ἐπιστρέψῃς, πολλῆς παρ' ἐμοὶ παρρησίας μεθέξεις:—

ὁ Ἐφραίμ. Τοῖς μὲν τελείοις, οὐ τὸ πρὸς ἄλλα διάκρισις· τοῖς δὲ ἀτελεστέροις, τὸ πρὸς ἐκ κανόνος χρή:—

Οἱ κατὰ συγχώρησιν θ(εο)ῦ πειράζοντες ἡμᾶς δαίμονες· ἢ τὸ θυμικὸν ἐκθερμαίνουσιν· ἢ τὸ ἐπιθυμητικὸν ἐκταράσσουσιν· ἢ τὸ λογικὸν σκοτίζουσιν:—

σο Χείλη ἱερέως φυλάξουσι κρίσιν· καὶ ἐκ στόματος αὐτοῦ ζητήσουσι δικαιοσύνην, ὅτι ἄγγελος κ(υρίο)υ παντοκράτορός ἐστιν:—

πρων Πονηρίαι, ἐκ τοῦ πόνον ἐμποιεῖν καὶ μόχθον αὐτοῖς τοῖς κεκτημένοις:—

Τρεῖς εἰσὶ σωματικαὶ κινήσεις· μία μὲν φυσική· ἑτέρα δέ, ἐξ ἀδιαφορίας τροφῶν· ἡ δὲ τρίτη, ἀπὸ δαιμόνων:—

Ἡ στενὴ καὶ τεθλιμμένη ὁδός ἐστι· τὸ βιάζεσθαι τοὺς λογισμοὺς ἑαυτῶν· καὶ κόπτειν διὰ τὸν θ(εό)ν, τὰ θελήματα ἑαυτῶν· τοῦτο γάρ ἐστι, τὸ ἰδοὺ ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι:—

ἐὰν μὴ τύχῃ λόγον μὲν ἔχει, ἔργα δὲ μὴ ἔχει, ἔ
οικε δένδρῳ καρπὸν μὲν ἔχοντι. φύλλα δὲ οὔ:—
μὴ ἔχε γνῶσιν μετὰ ἡγουμένου, μὴ δὲ πύκνα
ζε πρὸς αὐτόν· ἐκ τούτου γὰρ καὶ παρρησί
αν ἕξεις. καὶ τοῦ ἡγεῖσθαι ἄλλων ἐπιθυμήσεις:—
πᾶσα ἁμαρτία μὴ ἀποτελεσθεῖσα. οὐκ ἔ
στιν ἁμαρτία:— πρὸ πασῶν τῶν ἐν
τολῶν, τὴν ἡσυχίαν ἐξελέξατο ὁ θεός· γέ
γραπται γάρ· ἐπὶ τίνα ἐπιβλέψω, ἀλ
λ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντα:—
Εἰ πειρατήριόν ἐστιν ὁ βίος τοῦ ἀνθρώπου ἐπὶ
τῆς γῆς κατὰ τὸν Ἰώβ, τί ξενιζόμεθα
ἐν τοῖς πειρασμοῖς· μᾶλλον θαυμάζομεν,
ὅταν μὴ πειραζόμεθα. ὡς ξένου ἡμῖν
συμβαίνοντος:— ἀρκεῖ πολλάκις
καὶ εἷς δίκαιος, δυσωπῆσαι τὸν θεόν· αὐ
τὸς γὰρ εἶπεν· ἐρευνήσατε ἕνα ποιοῦν
τα κρίμα καὶ δικαιοσύνην. καὶ ἵλεως
ἔσομαι παντὶ τῷ λαῷ:—
Εἰ πάντες ἦσαν τέλειοι, πῶς ἂν ἐδείκνυ
το ἡ φιλανθρωπία τοῦ θεοῦ:— Εἰ θέλετε σω
θῆναι. διώξατε τὴν ἀκτημοσύνην
καὶ τὴν σιωπήν:— παρὰ μὲν οὖν τῶν
ἀσθενούντων, οὐκ ἀπαιτεῖ ὁ θεὸς ἄσκη
σιν· ἀλλὰ παρὰ τῶν ὑγιαινόντων τῷ σώματι:—
Οὐαί μοι ὅτι τῷ σώματί εἰμι ἐν τῇ ἐρήμῳ.
τῷ δὲ πνεύματι ἐν τῷ κόσμῳ πλάζομαι:—
ἐκ τοῦ ἀκτημονεῖν, οὐδὲν ἄλλο ἢ τοῦ ἐλευθερωθῆναι ἐκ τῆς
ταραχῆς τῶν λογισμῶν:—

Κλήμ· Χρὴ τὴν φιλανθρωπίαν ἀσκοῦντας μιμητὴν εἶναι θεοῦ εὐεργετοῦντα δικαίους καὶ ἀδίκους· τοῦτο γὰρ φιλανθρωπία. εἰ δέ τις θεοφόροις ἀγαθοῖς μόνον καλοποιεῖν καὶ κακοὺς κολάζειν, κριτοῦ ἔργον, οὐ θεοῦ χαρακτῆρα πρέποντα. καὶ οὕτω τῆς φιλανθρωπίας ἀποδείξεις χάριν:—

Ἰωσή· Περισσὸς ὑπὲρ τοῦ ταῖς δίκαις τοῦ πονεῖν πόνος· ὅταν ἡ τῶν ἀκουόντων πρὸς τὸ χεῖρον ᾖ μεμαθηκυῖα:—

προφή· πᾶς οἶκος Ἰσλ, φιλόνεικοι καὶ σκληροκάρδιοι:—

σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν:—

παροι· Ὁ συνέχων σῖτον, δημοκατάρατος· εὐλογία δὲ, εἰς κεφαλὴν τοῦ μεταδιδόντος:—

σιραχ· ἀνὰ μέσον πράσεως καὶ ἀγορασμοῦ, συντριβήσεται ἁμαρτία:—

σολομ· ὥσπερ ὕδωρ ψυχρὸν ψυχῇ διψώσῃ προσηνές, οὕτως ἀγγελία ἀγαθὴ, ἐκ γῆς μακρόθεν:—

Ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ ὁ ἱστῶν παγίδα, ἐν αὐτῇ ἁλώσεται· καὶ ὁ ποιῶν πονηρὰ, εἰς αὐτὸν ἐκκυλισθήσεται:—

Ἐκκωμάζεσθαι ἀπείρας, καὶ μὴ τὸ σῶμα ἀλλοτρίας· καὶ μὴ τὰ σὰ χάρη:—

μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ· ὁδοὶ ἀφρόνων, ὀρθαὶ ἐνώπιον αὐτῶν:—

Ἠσαΐου· Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς· καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες:—

παροι· ὥσπερ ὄρνεα πέτονται καὶ στρουθοί, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται οὐδενί:—

σιρά μακάριος ὁ διηγούμενος δικαιοσύνην εἰς ὦτα ἀκουόντων :— Διὰ ἀπληστίαν πολλοὶ ἐτελεύτησαν :— Ὁ τιμῶν πατέρα, ἐξιλάσκεται ἁμαρτίας :—

σο πᾶς μόχθος τοῦ ἀνθρώπου, εἰς τὸ στόμα αὐτοῦ· τί εὑρίσκει ὁ ἄνθρωπος παρὰ τὸ κτῆμα· οὐδέν· ὅτι πάντα ματαιότης :—

Βασι [illegible] τοὺς μεθύσους ἐοίκασι πρὸς τὰς τῶν πνευμάτων [illegible], ἀλλοιούμενοι καταιγιζομένους τῷ ἀθρόως φερομένῳ :—

Ἡ ἐκ τῶν ἐχθρῶν [illegible] τὰ μαρτυρ[illegible] παρόντων [illegible]. [illegible] ἀμείβεται [illegible] :—

νει Εἰδότες [illegible] δι' ὧν τῶν παρόντων παραμένει ἡμῖν· καὶ ὅτι δὴ πάντως ἐξελθεῖν ἡμᾶς ἐντεῦθεν ὥσπερ ἐκ πανδοχείου, φροντίσωμεν τῆς ὁδοῦ τῆς ἀπαρτιζούσης ἐκεῖ· καὶ τῶν ἐφοδίων τῆς αἰωνίου ζωῆς [illegible]. δι' ἐλεημοσυνῶν. διὰ πραότητος. διὰ ἀμνησικακίας τῶν ἀδελφῶν. διὰ τῆς πρὸς [illegible] οἰκέτας ἐπιεικείας καὶ συγκροτήσεως. καὶ διὰ τῶν ἄλλων πραγμάτων ὧν ὑπαγορεύει ὁ ἐσώτερος λογισμός :—

μαλα Ἰδοὺ ἔρχεται κύριος παντοκράτωρ. καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ· διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς πόα πλυνόντων. καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον :—

ρνγ΄ περὶ κρίσεως καὶ συντελείας

ἠσαΐ. Ἰδοὺ κύριος ὡς πῦρ ἥξει· καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ· ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν· καὶ ἀποσκορα

κισμὸν ἐνφρονῆ πρός· ἐν γὰρ τῷ πυρὶ κυ̅, μαλα̅χ κριθήσεται πᾶσα ἡ γῆ: — ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν ἠλίαν τὸν θεσβίτην· πρὶν ἐλθεῖν τὴν ἡμέραν κυ̅. τὴν μεγάλην καὶ ἐπιφανῆ: —

εὐαγ περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, οὐδεὶς οἶδεν· οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν εἰ μὴ ὁ πατὴρ μόνος: — Καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου· ἤσθιον. ἔπινον. ἐγάμουν. ἐγαμίζοντο. ἄχρις ἡμέρας εἰσῆλθε νῶε εἰς τὴν κιβωτὸν καὶ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἀπώλεσε πάντας. κατὰ ταῦτα ἔσται ἡ ἡμέρα. ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται: —

ἀπο̅ ἡ ἡμέρα κυ̅. ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται· ὅταν γὰρ εἴπωσιν εἰρήνη καὶ ἀσφάλεια· τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος· ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. καὶ οὐ μὴ ἐκφύγωσιν: —

φιλ ἀνάγκη ζυγοὶ καὶ σταθμοί. πάντα ἀποδιδόμαι τὸν θν̅: —

⳩ τῆς ἀγάπης καὶ τῆς εἰρήνης, οὐδὲν ἀμφότερον ρια̅ ς̅ πε εἰρήνης ς̅ ἀγάπης: τίθησιν ὁ θσ̅· τοιοῦτον τῶν ἀγαπώντων τὸ ἔθος· πάντα τὰ τῶν ἀγαπωμένων πράγματα, δι' αὐτῶν ἀνύεσθαι νομίζονται: —

ἡ τῆς ἀγάπης φύσις, κόρον οὐκ οἶδεν· ἀλλὰ τῶν ἀγαπωμένων ἀπολαύουσα, προσμείζονα αἴρεται φλόγα· καὶ τοῦτο ὁ ταύτης τρόφιμος εἰδὼς παῦλος ἔλεγεν· μηδενὶ μηδὲν ὀφεί

μεν. εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους· τοῦτο γὰρ τὸ
ὀφείλημα ἀεὶ μὲν καταβαλλόμενον, οὐδέποτε
Ἰὼβ δὲ ἀποδίδοται:— ἀληθινὸν στόμα, ἐμπλη-
σθήσεται γέλωτος. καὶ τὰ χείλη αὐτοῦ ἀγαλλιάσεως:—
Ἰουστίνου φιλοσόφου πᾶς ὁ δυνάμενος λέγειν τὴν ἀλήθειαν καὶ μὴ λέγων,
κριθήσεται ὑπὸ τοῦ θεοῦ:— Ὁ μαθὼν ἄρχε-
Φίλωνος σθαι, καὶ ἄρχειν εὐθὺς μανθάνει. οὐδὲ γὰρ ἂν
εἰ πάσης γῆς καὶ θαλάττης τὸ κράτος αὐ-
τὸ τὶς ἄρχων ἂν εἴη πρὸς ἀλήθειαν, εἰ
μὴ μάθοι καὶ προπαιδευθείη τὸ ἄρχεσθαι:—
☧ πάσης δαιμονικῆς ἐνεργείας ἰσχυροτέρα,
ἡ τῆς ἀθυμίας καὶ ἀκηδίας ὑπερβολή—
Καιρὸς ἀθυμίας οὐχ ὅταν πάσχομεν κακῶς, ἀλ-
Παροι λ' ὅταν δρῶμεν κακῶς:— ἀφροσύνη ἀν-
δρὸς, λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ· τὸν δὲ θεὸν
αἰτιᾶται ἡ καρδία αὐτοῦ:— μὴ ἀποκρίνου
ἄφρονι πρὸς τὴν ἀφροσύνην αὐτοῦ· ἵνα μὴ
Ἡσαΐου ὅμοιος γένῃ αὐτῷ:— Ὁ μωρὸς μωρὰ λα-
λήσει· καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει:—
Ἰουστίνου φιλ Εἰς σκληρὰν καρδίαν καὶ ἀπειθῆ, λόγος ἡμῶν
Νείλου οὐκ ἀναφχάσει:— τὸ καλῶς ἄρξασθαι μέγα, πο-
λὺ τιμιώτερον τοῦ καλῶς τελευτᾶν:—
Θεο Ὁλκὸν πρὸς ἀπάτην, τὸ πρὸς ἡδονὴν ἅπαν:—
Σολ πᾶς ὁ ἀδελφὸν πτωχὸν μισῶν, καὶ φιλίας μακρὰν
ἐστίν:— Κρεῖσσον φίλος ἐγγὺς, ἢ ἀδελφὸς μα-
Δαδ κρὰν οἰκῶν:— τοὺς ἐκκλίνοντας εἰς τὰς
στραγγαλιάς, ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων
Σιράχ τὴν ἀνομίαν:— βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλ

ἁπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν τῷ λου
τρῷ αὐτοῦ· οὕτως ἄνθρωπος νηστεύων ἐπὶ τῶν ἁμαρ
τιῶν αὐτοῦ καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ
ποιῶν, τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται:
καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν:—

☧ τότε μάλιστα ἐπιτίθεται ὁ διάβολος, ὅταν ἴ
δῃ μεμονωμένους καὶ καθ' ἑαυτοὺς ὄντας ἡμᾶς:—

σεραπίωνος ἁρμόζει τῷ ἀκρατεῖ, καὶ τοὺς ὄχλους φεύγειν·
ἵνα τὸν νοῦν ἀπερίσπαστον ἔχῃ καὶ τὴν καρδί
αν ἀτάραχον· πολλὴ γὰρ ἐν τοῖς ὄχλοις ἡ ταρα
χή:— μέγας συνεργὸς πρὸς τελειότητα τῶν
φι ἀνθρώπων ἐστὶν ἡ ἀναχώρησις:— ὁ σοφὸς, ἠρε
μίαν καὶ ἀπραγμοσύνην καὶ σχολὴν μεταδιώκει:—
τὰς ἀδίκους αἰτήσεις, οὐ χρὴ προσπεράσαν:—

παροιμ ὁ μὲν ἁμαρτάνων, παραινεῖ μόνον· ὁ δὲ κα
ταφρονῶν, εἰς αὐτὴν ἀσεβεῖ τὴν θεότητα:—

ἀπο ἰακώβ Οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ
θυ̅ ἐστιν; ὃς ἐὰν οὖν βουληθῇ φίλος εἶναι τοῦ
κόσμου, ἐχθρὸς τοῦ θυ̅ καθίσταται:~

ἀπο ἰω̅ μὴ ἀγαπᾶτε τὸν κόσμον· μηδὲ τὰ ἐν τῷ κόσμῳ·
ἐάν τις γὰρ ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη
τοῦ πρς ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἐπι
θυμία τῆς σαρκός ἐστιν· καὶ ὁ κόσμος παράγ(εται) καὶ
ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν ÷ τοῦ θυ̅, μένει εἰς τὸν αἰῶνα:~ ÷ τὸ θέλημα

φιλ̃ τῶν μὲν ἀφρόνων, βασιλεὺς οὐδείς· κἂν τὸ πάσης γῆς
καὶ θαλάττης κράτος ἀναδήσηται· μόνος δὲ ὁ σοφὸς ρνε ε π βασι
παροι καὶ θεοφιλής:— Βασιλέως ἀπειλή, ὁμοία ὀργῇ λέως
λέοντος· ὡς δὲ δρόσος ἐπὶ χόρτον, οὕτως τὸ ἱλαρὸν αὐτοῦ:—
θυμὸς βασιλ(έως), ἄγγελος θανάτου· ἀνὴρ δὲ σοφὸς, ἐξιλάσεται αὐτόν:—
θυμὸν βασιλέως, καταπραΰνει θεράπων φρόνιμος:—

σιραχ· ὁ ἐργαζόμενος τὴν γῆν, ἀνυψώσει θη-
μωνίαν αὐτοῦ:— ἀνὴρ ἐπιστήμων,
ἀπό οὐ γογγύσει:— πάντα ποιεῖτε, χω-
ρὶς γογγυσμοῦ· ἵνα γένησθε ἄμεμπτοι:—
Βασι ἀπρόσδεκτος ἡ ἀπὸ τῶν γογγυσμῶν ἐρ-
γασία, ὡς θυσία ἐπίμωμος· χρὴ οὖν
τὸ τοῦ ὀκνηροῦ καὶ ἀντιλογικοῦ ἔργον.
ἀλλοτριῶσαι τῆς ἀδελφότητος:—
Νει γνῶθι σαυτὸν πρὸ πάντων· οὐδὲν γὰρ δυσχε-
ρέστερον τοῦ ἑαυτὸν γνῶναι· οὐδὲν ἐπιπο-
νώτερον· ὅταν σαυτὸν γνῷς, τότε δυνή-
σῃ καὶ θεὸν ἐπιγνῶναι. καὶ λογισμῷ ἐ-
πελθεῖν τὰ κτίσματα ὡς καθήκει:—
Θεο μὴ ἄλλους ἰατρεύειν ἐπιχειρῶμεν, αὐτοὶ
βρύοντες ἕλκεσιν:— ἐρεύνα σαυτὸν
πλεῖον. ἢ τὰ τῶν πέλας· κρεῖσσον γὰρ
τὸ εἶναι τοῦ δοκεῖν· τί γὰρ πιθήκῳ κέρ-
δος. ἂν δοκῇ λέων εἶναι:—
παροιμ δόξα πρεσβυτέρων. πολιαί:— μὴ ἀτιμάσῃς
ἄνδρα ἐν γήρᾳ αὐτοῦ:— στέφανος γε-
ρόντων. πολυπειρία· καὶ τὸ καύχημα
αὐτῶν. φόβος κυρίου:— ὡς ὡραῖον πολιαῖς
κρίσις· καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν:—
Βασι πᾶν τὸ ἀρχαιότητι διαφέρον αἰδέσιμον:—
Θεο κρεῖσσον πολιὰ μετὰ φρονήσεως. ἀπαιδεύ-
φιλ του νεότητος:— ἀκμάζοντος λειμῶνος, πολιαί:—
σώματος παρακμή, κατάστολη παθῶν:—
ἰωα ἐκ μερίμνης καὶ φροντίδος. ἀμαυροῦνται αἱ
φι φρένες:— μέριμνα, τροφὸς ἐστὶν ἐπιλησμονῆς:—

μάν· ἐκ μελέτης πολλῆς καὶ ἀσκήσεως. ἡ ἀκμὴ
καὶ ἡ ἀγριότης τῶμ παθῶμ ἀσθενεῖ:—

σιράχ ὀπίσω τῶμ ἐπιθυμιῶμ σου μὴ πορεύου. ϛ ρνϛ πε γαστριμαρ·
ἀπὸ τῶμ ὀρέξεώμ σου κωλύου. ἐὰμ γὰρ χο
ρηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαμ ἐπιθυμί
ας. ποιήσει σε ἐπί χαρμα ἐχθρῶμ σου:—

μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ. ἐν πολλοῖς
γὰρ βρώμασιν ἔσται νόσος:— τρόφος.
νυσ μετὰ ἀνδρὸς ἀπλήστου:— ῥίζα
τῶμ κατὰ τὸμ βίομ πλημμελημάτωμ,
ἡ περὶ τὸμ λαιμὸν ἀσχολία:—

φαγὼμ καὶ πιὼν καὶ ἐμπλησθεὶς, πρόσεχε
σεαυτῷ. ἀπόκρημνος γὰρ ἐστὶν ὁ τόπος
νεῖ τῆς τρυφῆς:— ὁ τῆς γαστριμαργίας
λογισμὸς. τέλος ἔχει τὸν τῆς πορνείας·
ὁ δὲ τῆς πορνείας, τέλος ἔχει τὸν τῆς λύπ:—

πᾶς ἄνος ἄπληστος καὶ ἀκόρεστος, ἀτιμί
αμ καὶ πάθη ἐπισπᾶται διὰ τῆς γαστριμαι:—

δαδ χρηστότητα καὶ παιδείαμ καὶ γνῶσιμ.
κλη δίδαξόμ με:— παιδείας σημεῖομ.
ἡ ῥάβδος:— τότε μάλιστα οἱ μαθηταὶ
εἰς τὸμ τῶμ ἀγαθῶμ ἀγωνίζομται ζῆ
λομ. ὅταμ παρ᾽ αὐτῶμ διδασκάλωμ ἔχωσι
τὰ παραδείγματα:— ἕκαστομ δένδρο,
ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται:—

ἐμ δείξει καλαὶ λέγονται τιμαὶ. φαῦλομ εἶ
ναι· καλὰ δὲ πράσσομται. φαῦλον εἶ
ναι ἀδύνατομ:—

βασι τοῦτό ἐστι θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης
ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν θεόν:—
τὸ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα,
αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται:—
θεο μνημονευτέον θεοῦ μᾶλλον. ἢ ἀναπνευστέον:—
ευαγρίου τὸν θεὸν ἔργοις μὲν σέβου· λόγοις δὲ ὕμνει,
ἐννοίαις δὲ τίμα:—
παροι οὐ λιμοκτονήσει κς ψυχὴν δικαίου:— θησαυ
ρίζεται δικαίοις, πλοῦτος ἀσεβῶν:—
ἐπαύλεις δικαίων εὐλογοῦνται:— χείλη
ἀνδρῶν δικαίων ἀποστάζει χάριτας:—
θεο ῥάβδος δικαίου κρεῖσσον, ἢ τιμὴ κακοῦ:—
νυσ ὥσπερ τὰ ἄνθη τῶν ἀρωμάτων τῆς ἰδί
ας εὐπνοίας τὸν παρακείμενον ἀέρα
πλήρη ποιεῖ, οὕτως ἀνδρὸς ἀγαθοῦ πα
ρουσία. τοὺς πέλας ὀνίνησιν:—
ἡσαΐου οὐαὶ οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων.
καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες:—
οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφοντες
γὰρ. πονηρίαν γράφουσιν· ἐκκλίνοντες
κρίσιν πτωχῶν· καὶ τί ποιήσουσι τῇ ἡμέ
ρᾳ τῆς ἐπισκοπῆς· ἡ γὰρ θλῖψις αὐτῶν
πόρρωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξονται:—
ἱερε ἐν ταῖς χερσὶν ὑμῶν. εὑρέθησαν αἵματα
ψυχῶν ἀθώων· οὐκ ἐκρίνατε κρίσιν ὀρφανοῦ·
καὶ κρίσιν χήρας οὐκ ἐκρινόσατε· μὴ ἐ
πὶ τούτοις οὐκ ἐπισκέψομαι λέγει κς; ἢ ἐν ἔ
θνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;

ἰεζεκιήλ ἐταπείνωσας τὸ ὑψηλόν, καὶ ὕψωσας τὸ ταπεινόν· ἀδικίαν θήσομαι αὐτὸ μάλα κακῶς:—

νύσσης Ἐξετασθήσονται καὶ ἄρχοντες καὶ δικασταί, μετὰ πολλῆς τῆς ἀκριβείας· καὶ γνωσθήσονται εἰ μὴ διέφθειραν τὸ δίκαιον· εἰ μὴ πρὸς χάριν· εἰ μὴ πρὸς ἀπέχθειαν ἐψηφίσαντο τοῖς δικαζομένοις· εἰ μὴ κολακεύοντες ἐνέδωκαν πρὸς τὸ δέον· εἰ μὴ μνησικακοῦντες ἐπηρέασαν τοῖς οὐδὲν ἠδικηκόσιν:—

ἡσαΐου Οὐ γάρ εἰσιν αἱ βουλαί μου. ὡς αἱ βουλαὶ ὑμῶν. οὐδὲ ὥσπερ αἱ ὁδοὶ ὑμῶν. αἱ ὁδοί μου λέγει κύριος· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς. οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν. καὶ τὰ διανοήματα ὑμῶν, ἀπὸ τῆς διανοίας μου:—

☧ Τὸ μέσον θεοῦ καὶ ἀνθρώπων τοσοῦτόν ἐστιν. ὅσον οὐδὲ λόγος παραστῆσαι δύναται:—

Ὥσπερ τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδὲν ὑπὸ τῆς παγίδος ἁλόντι· ἀλλ' εἰκῇ καὶ μάτην πτερύσσεται, οὕτω καὶ τῷ λογισμῷ οὐδὲν ὄφελος. ὅταν κατάκρατος ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷ:—

Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· διὰ τοῦτο λογισμὸς τοῖς ἀνθρώποις. ἵν' ἐκφύγωσιν ἁμαρτήματα:—

παροιμ. ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ· ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ μὴ ἐπαίρου· ὅτι ὄψεται κύριος καὶ οὐκ ἀρέσει αὐτῷ:—

μαλαχ ἐὰν πεινᾷ ὁ ἐχθρός σου· ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ κ̅ς̅ ἀνταποδώσει σοι ἀγαθά:—

εὐαγ ἐκεῖνος ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κ̅υ̅ αὐτοῦ καὶ μὴ ποιήσας, δαρήσεται πολλάς:—

βασι τῶν ἁμαρτημάτων τὰ μὲν ἀκούσιά ἐστι. τὰ δὲ ἀπὸ γνώμης πονηρᾶς γίνεται:—

κλημ τὸ ἀκούσιον οὐ κρίνεται· διττὸν δὲ τοῦτο· τὸ μὲν γινόμενον μετὰ ἀγνοίας, τὸ δὲ ἐν ἀνάγκῃ:—

διδύμου τὰ μὲν ἀκούσια ἁμαρτήματα καὶ ὁ νόμος συγχωρεῖ καὶ ὁ θ̅ς̅ παρορᾷ:—

σιραχ μὴ μακαρίσης ἄνδρα πρὸ τελευτῆς αὐτοῦ:—

βασι ὁ μὲν ἐν τῷ βίῳ τυγχάνων, οὔπω μακάριος διὰ τὸ ἄδηλον τῆς ἐκβάσεως· ὁ δὲ συμπληρώσας τὸν ἐν βίῳ ἀγῶνα καὶ ἀναμφιρρήτῳ τέλει τὴν ζωὴν κατακλείσας, οὗτος ἤδη ἀσφαλῶς μακαρίζεται:—

θεο πολλοῖς προσόρμοις ἀπροόπτως ἔδυ σκάφος· πολλοὶ προσωρμίσθησαν ἐκ τρικυμ:—

### περὶ προσευχῆς.

εὐαγ ρνζ γρηγορεῖτε καὶ προσεύχεσθαι ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν:— ἀγρυπνεῖτε ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα

γίνεσθαι. καὶ σταθῆναι ἔμπροσθεν τοῦ
υἱοῦ τοῦ ἀν(θρώπ)ου:— Ὅταν στήκητε
προσευχόμενοι. ἀφίετε εἴ τι ἔχετε κατά
τινος· ἵνα καὶ ὁ π(ατ)ὴρ ὑμῶν ὁ οὐράνιος.
ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν:—

ἀπο Βούλομαι προσεύχεσθαι τοὺς ἄνδρας ἐν παν
τὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας.
χωρὶς ὀργῆς ϛ διαλογισμῶν:—

νυσ Ἀληχὸς ἐστιν ἐκείνη ἡ φωνὴ καὶ μέχρι τῆς
θείας ἀνιοῦσα ἀκοῆς· οὐχ ἡ μετά
τινος διατάσεως γινομένη κραυγή· ἀλ
λ' ἡ ἀπὸ καθαρᾶς συνειδήσεως ἀνα
πεμπομένη ἐνθύμησις:— Δεῖ πάντοτε
προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν· ἐκ
γὰρ τοῦ προσεύχεσθαι. περιγίνεται τὸ
μετὰ τοῦ θ(εο)ῦ εἶναι· ὁ δὲ μετὰ τοῦ θ(εο)ῦ ὤν,
τοῦ ἀντικειμένου κεχώρισται:—
Προσευχὴ τῷ μὲν ἰωνᾷ. τὸ κῆτος οἶκον
ἐποίησεν· τὸν δὲ ἐζεκίαν. ἐκ τῶν πυ
λῶν τοῦ θανάτου ἀνήγαγεν· τοῖς δὲ
τρισὶ νέοις. εἰς πνεῦμα δροσῶδες τὴν
φλόγα ἔτρεψεν:—

Ὁ ἐν καιρῷ προσευχῆς μὴ πρὸς τὰ μετ
εωροῦντα τῇ ψυχῇ ἱστάμενος· ἀλλὰ
πρὸς τὰς ἐμπαθεῖς τῆς διανοίας
κινήσεις συνδιατίθεσθαι τὸν θ(εὸ)ν
ἀξιῶν. μωρός τίς ἐστιν ὄντως ἀμαθὴς ϛ
ματαιόπονος καὶ φλύναρος:—

ὁ τοῦ πονηροῦ ῥυσθῆναι εὐχόμενος. ἔξω τῶμ
πειρασμῶμ γενέσθαι παρακαλεῖ: —
Ὅταν δι' εὐχῆς αἰτησώμεθά τι τὸν δεσπότην,
μὴ ταχέως ἐξαποκνήσωμεν· ἀλλὰ τὸ συ-
νεχὲς τῆς ἀποτυχίας. τῇ συνεχείᾳ τῆς
αἰτήσεως ἐκνικήσωμεν: —
Καλὸν πάντοτε διὰ προσευχῆς ὁμιλεῖν
τῷ θεῷ. εἰ γὰρ συντυχία ἀνδρὸς ἀγαθοῦ :—
μέγα ἀγαθὸν εὐχή, ἐὰν μετὰ διανοίας εὐχαρί-
στου γένηται. μέγας κόσμος. μεγάλη ἀσφά-
λεια. ἀνθρώπων μὲν γὰρ δεόμενοι. καὶ δαπά-
νης χρημάτων δεόμεθα. καὶ κολακείας
δουλοπρεποῦς. καὶ πολλῆς περιόδου καὶ
πραγματείας. ἐπὶ δὲ θεοῦ οὐκ ἔστιν οὕτως.
οὐ γὰρ δεῖται μεσιτῶν ἐπὶ τῶν ἀξιούντων.
οὐδὲ οὕτως δι' ἑτέρων παρακαλούμενος.
ὡς δι' ἡμῶν αὐτῶν τῶν δεομένων ἐπινεύει
τῇ χάριτι. ἐπεὶ οὖν μεῖζον τὸ κέρδος
καὶ πλέον ἡ εὐκολία τοῖς τῷ θεῷ προσι-
οῦσι. μὴ καταφρονῶμεν εὐχῆς: —
Ἐπειδὴ γὰρ οἶδεν ὁ διάβολος ὅτι κατὰ τὸν
καιρὸν τῆς εὐχῆς διαλεχθῆναι πρὸς θεὸν
δυνάμεθα καὶ ἀφέσεως ἁμαρτημάτων
τυχεῖν. κουρόμενος ἡμῖν τὸν τῆς εὐχῆς
προσχῶσαι λιμένα, κατ' αὐτὸν ἐμιάσατου
τὸν καιρὸν ἐκκρούων ἡμῶν τὴν διά-
νοιαν τῶν μεριμνῶν. ὥστε ζημι ωθέν-
τας ἡμᾶς μᾶλλον ἢ κερδάναντας ἀπελθεῖν: —

Ὁ διάβολος πονηρὸς ὢν καὶ εἰδὼς ὅτι ἐν
καιρῷ προσευχῆς μάλιστα ἀμύνομεν. τό-
τε ἐπέρχεται· πολλάκις κείμεθα ὕ-
πτιοι καὶ οὐδὲν λογιζόμεθα· καὶ ὁ νοῦς ἠ-
ρεμεῖ· ἐρχόμεθα εὔχεσθαι· καὶ μυρίοι λογι-
σμοὶ ἐπέρχονται· ἵνα ἡμᾶς ἐκ [illegible]:—

ἀσυνῇ· Ὑπὲρ τῆς κοινῆς χρὴ εὔχεσθαι πρότερον σω-
τηρίας· εἶθ' οὕτως ὑπὲρ ἑαυτῶν:—

Μὴ μιμηθῶμεν τοῦ προδότου Ἰούδα καὶ μὴ
ἐξέλθωμεν τῆς ἐκκλησίας· ἐκεῖνος
γὰρ ἀρχὴ ἀπωλείας γέγονε. τὸ μὴ πα-
ραμένειν τῇ εὐχῇ· λαβὼν γὰρ τὸν ἄρ-
τον. πρῶτος τῶν λοιπῶν ἐξῆλθεν· καὶ
εὐθέως ἐχώρησεν εἰς αὐτὸν ὁ σατανᾶς. καὶ
εἰς τὴν προδοσίαν ἑαυτοῦ ἔλασεν· ἐὰν
οὖν τις πρὸ τῆς ἀπολύσεως ἐξέλθῃ. τὰ
τοῦ Ἰούδα [illegible] ἀποτίσει· μὴ οὖν διὰ
μίαν ὥραν μέλλομεν μετὰ Ἰούδα κατα-
κρίνεσθαι· οὐδὲν ἡμᾶς βαρήσει ἡ παρα-
μονή· οὐ χειμῶνα ἔνδον ἔχει· οὐ πῦρ· οὐχ ἕ-
τερα κολαστήρια:—

Ἡ Εἰ πλειστάκις δεηθεὶς καὶ ἀποτυχὼν. μὴ
ἀποκάμῃς μηδὲ ἀπελπίσῃς· ἀλλ' ἀνακαι-
νίσας τοῖς πρόσθεν λιπαρισμοῖς. πάλιν
πρόσελθε ἀναιδῶς τῷ δεσπότῃ· προ-
τιμᾶται γὰρ ἐν ταῖς ἀνάγκαις τῆς αἰδοῦς
ἡ ἀναίδεια· διὰ γὰρ τὴν ἀναίδειαν αὐτοῦ,
δοθήσεται αὐτῷ ὅσον θέλει καθὼς εἶπεν ὁ Κ(ύριο)ς:—

ὥσπερ τὸ ἀναπνεῖν οὐδέποτε ἄκαιρον,
οὕτως οὔτε τὸ αἰτεῖσθαι παρὰ κυ αἰ-
τήματα μυστικά. μέχρις ἐσχάτης
ἀναπνοῆς :— προσελθὲ μετὰ
κλαυθμοῦ τῷ οὐρανίῳ ἀρχιατρῷ Ἰησοῦ.
καὶ πάντα τὰ τῆς ψυχῆς ἀπογύμνω-
σαι τραύματα· οὐδὲν γὰρ ἂν εἴη πά-
θος, ὅπερ μὴ ἰσχύει θεραπεῦσαι χσ
ὁ φιλανθρωπότατος:—
τοὺς σκώληκας τῆς διανοίας, ἐξαφανί-
ζειν οἶδε δι' εὐχῆς καὶ νηστείας καὶ
ἀγρυπνίας ἐπιμόνου:— χσ ὁ παμμα-
σιμὰς θσ. οὐδαμῶς ἀποστρέφεται τοὺς
πρὸς αὐτὸν κεχηνότας καὶ ἀπὸ βάθους
καρδίας στενάζοντας, κἂν πολλοῖς
ἁμαρτήμασι περιφορτισμένοι τυγχά-
νωσιν· ἀλλὰ καὶ προσίεται· καὶ καθαρί-
ζει τούτους· καὶ τῆς υἱοθεσίας δωρεῖ-
ται τὸ χάρισμα· καὶ ἀρετῶν ἐργάτας
ἀποφαίνει προϊόντος τοῦ χρόνου:—
πᾶς ὁ αἰτῶν λαμβάνει φησίν· λαμβά-
νει δὲ, εἴπερ ζητοίη τὰ συμφέροντα
τῇ ψυχῇ:— μὴ πλοῦτον ἐν προσευχῇ
ζητήσῃς· μὴ ὑγείαν· μὴ τῶν ἐχθρῶν ἄμυ-
ναν· μὴ δόξαν ἀνθρωπίνην· ἀλλὰ μόνον τὰ
συντελοῦντα πρὸς σωτηρίαν ψυχῆς:—
Εἰ μάλα τῷ ἀνθρώπῳ ὁ κσ ἐν τοῖς εὐαγγελίοις ὅτι
παντὶ τῷ αἰτοῦντί σε δίδου· τὴν ἐλεημο

σώζειν. πολλῷ μᾶλλον αὐτὸς ὁ κ(ύριο)ς, παντὶ
τῷ δεομένῳ δώσει πλουσίως τὰ ἐκεῖ·
τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· τῶν μυ-
στηρίων τὴν μύησιν· τὰ μυρία καλά: —

— ⁝ — ⁝ — ⁝ — ⁝ — ⁝ —×

ρνη
### π(ερὶ) ἐλεημοσύνης καὶ εὐποιΐας εἰς πτωχούς: —

Δευτερο(νομίου) Οὐ μὴ ἐκλίπῃ ἐνδεὴς ἀπὸ τῆς γῆς·
διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖμ τὸ
ῥῆμα τοῦτο λέγωμ· ἀνοίγωμ ἀνοίξεις
τὰς χεῖράς σου, τῷ ἀδελφῷ σου τῷ
πένητι τῷ ἐπιδεομένῳ: —

Ἰώβ Ἡ θύρα μου παντὶ ἐλθόντι ἠνέῳκτο·
ἀδύνατοι χρείαν ἥν ποτε εἶχον οὐ-
κ ἀπέτυχον· χήρας δὲ τὸν ὀφθαλμὸν
οὐκ ἐξέτηξα· εἰ δὲ καὶ τὸν ἄρτον μου
ἔφαγον μόνος καὶ οὐχὶ καὶ ὀρφανῷ μετέ-
δωκα· εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀ-
πολλύμενον καὶ οὐκ ἠμφίασα· ἀδύνα-
τοι δὲ εἰ μὴ εὐλόγησάν με· ἀπὸ δὲ κουρᾶς
ἀμνῶν μου ~~ἐθερ~~ ἐθερμάνθησαν οἱ ὦμοι
αὐτῶν· ὀφθαλμὸς ἤμην τυφλῶν·
ποὺς δὲ χωλῶν· ἐγὼ ἤμην πατὴρ ἀδυνάτων: —

Δαδ Ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσιν: —
μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα: —
ἐσκόρπισεν ἔδωκε τοῖς πένησιν· ἡ δι-
καιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα: —
μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ ἡνίκα ἂν ἔχῃ

ἡ χεῖρ σου βοηθεῖμ· μὴ εἴπῃς ἐπανελθὼμ ἐπάνηκε καὶ αὔριομ δώσω δυνατοῦ σου ὄντος εὖ ποιεῖμ· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα:— εὐλογία, εἰς κεφαλὴν τοῦ μεταδιδόντος:— τὴν ψυχὴν αὐτοῦ ἀγαθοποιεῖ ἀνὴρ ἐλεήμωμ:—

Λύτρομ ἀμδρὸς ψυχῆς, ὁ ἴδιος πλοῦτος:—

Ὁ ἐλεῶμ πτωχὸμ, μακάριος:— ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρομται ἁμαρτίαι:—

Ὁ ἐλεῶμ πτωχὸμ· δαμείζει θεῷ· κατὰ δὲ τὸ δόμα αὐτοῦ, ἀνταποδοθήσεται αὐτῷ:—

Ὁ ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης, εὑρήσει ζωὴν καὶ δόξαμ:— ἄμδρα ἱλαρὸμ ϗ δότημ ἀγαπᾷ ὁ θεός:—

ἡσαΐου Διάθρυπτε πειμῶμτι τὸμ ἄρτομ σου· καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸμ οἶκόμ σου· ἐὰμ ἴδῃς γυμμὸμ περίβαλε:— ἐὰμ δῷς πειμῶμτι τὸμ ἄρτομ σου ἐκ ψυχῆς σου· καὶ ψυχὴν τεταπεινωμένημ ἐμπλήσῃς. τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου· καὶ τὸ σκότος σου ὡς μεσημβρία· καὶ ἔσται ὁ θεὸς μετὰ σοῦ διαπαντός:—

δανιήλ. Βασιλεῦ ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι· ϗ τὰς ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων:—

σολομ παντὸς δυνατωτέρα ἐστὶμ ἡ εὐσέβεια:—

σιραχ πῦρ φλογιζόμενομ κατασβέσει ὕδωρ· καὶ ἐλεημοσύνη καταπαύει ἁμαρτίας:—

μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ πτω
χοῦ:— Κλῖνον πτωχῷ τὸ οὖς σου·
καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πρα
ότητι:— πτωχῷ ἔκτεινον τὴν χεῖρά
σου. ἵνα τελειωθῇ ἡ εὐλογία σου:—
εὐποίησον εὐσεβεῖ. καὶ εὑρήσεις ἀνταπόδο
μα· καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ τοῦ ὑψίστου:—
ἐὰν ποιῇς, γνῶθι τίνι ποιεῖς· καὶ ἔσται χά
ρις τοῖς ἀγαθοῖς σου:— σύγκλεισον
ἐλεημοσύνην ἐν τοῖς ταμιείοις σου. καὶ
αὕτη σε ἐξελεῖται
ἐκ πάσης κακώσεως· κατέναντι ἐχθροῦ
πολεμήσει ὑπὲρ σοῦ:— ἐλεημοσύνη εἰς
τὸν αἰῶνα μενεῖ:— ἀδελφοὶ καὶ βοή
θεια ἐν καιρῷ θλίψεως· καὶ ὑπὲρ ἀμφότε
ρα, ἐλεημοσύνη ῥύσεται:—
εὐαγ μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθή
σονται:— προσέχετε τὴν ἐλεημοσύ
νην ὑμῶν, μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ
μήγε μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν
τῷ ἐν τοῖς οὐρανοῖς:— πορευθέντες
μάθετε τί ἐστιν ἔλεον θέλω καὶ οὐ θυσίαν:—
Ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων
ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ.
ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ:—
ἀποκριθεὶς ὁ Ἰω εἶπεν αὐτοῖς· ὁ ἔχων δύο χι
τῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων
βρώματα, ὁμοίως ποιείτω:

πωλήσατε τὰ ὑπάρχομτα ὑμῶμ. καὶ
δότε ἐλεημοσύνην· ποιήσατε ἑαυ
τοῖς βαλάντια μὴ παλαιούμενα· θη
σαυρὸμ ἀμέκλειπτομ ἐμ τοῖς οὐραμοῖς·
ὅπου κλέπτης οὐδὲμ ἰσχύει· οὐδὲ σὴς ἀφα
μίζει· ὅπου γάρ ἐστιμ ὁ θησαυρὸς ὑμ͂,
ἐκεῖ καὶ ἡ καρδία ὑμῶμ ἔσται:—

ἔλεγεμ ὁ κ̅ς τῷ κεκληκότι αὐτόμ· ὅταμ
ποιῇς ἄριστομ ἢ δεῖπνομ. μὴ φώνει τοὺς
φίλους σου μηδὲ γείτομας πλουσίους·
μηδὲ τοὺς συγγενεῖς σου. μηδὲ τοὺς
ἀδελφούς σου· μήποτε καὶ αὐτοί σε
ἀμτικαλέσωσι. καὶ γένηταί σοι ἀμτα
πόδομα· ἀλλ' ὅταμ ποιῇς δοχήμ, κά
λει πτωχούς· ἀμαπήρους· χωλούς·
τυφλούς· καὶ μακάριος ἔσῃ, ὅτι οὐ
κ ἔχουσιμ ἀμταποδοῦναί σοι· ἀμτα
ποδοθήσεται γάρ σοι ἐμ τῇ ἀμαστά
σει τῶμ δικαίωμ:—

ἀπ

αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου
καὶ τοῖς οὖσι μετ' ἐμοῦ. ὑπηρέτησαμ αἱ
χεῖρες αὗται· ὑπέδειξα ὅλω ὑμῖμ
ὅτι οὕτως κοπιῶντας, δεῖ ἀμτιλαμ
βάνεσθαι τῶμ ἀσθενούντωμ· μνη
μονεύειμ δὲ τῶμ λόγωμ τοῦ κ̅υ ὅτι αὐ
τὸς εἶπεμ· μακάριόμ ἐστι μᾶλλομ δι
δόμαι. ἢ λαμβάμειμ:— ὁ μεταδι
δοὺς ἐμ ἁπλότητι· ὁ προϊστάμεμος ἐμ

σπουδῆι· ὁ ἐλεῶν ἐν ἱλαρότητι:—
Ὁ σπείρων φειδομένως, φειδομένως
καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ᾽ εὐλογί-
αις· ἐπ᾽ εὐλογίαις καὶ θερίσει· ἕκα-
στος καθὼς προαιρεῖται τῆι καρδίαι·
μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ
δότην ἀγαπᾶι ὁ θς:— πᾶσαν αὐ-
τάρκειαν ἔχοντες, περισσεύετε εἰς
πᾶν ἔργον ἀγαθόν:—
Τοῖς πλουσίοις ἐν τῶι νῦν αἰῶνι παραγ-
γέλλε· μὴ ὑψηλοφρονεῖν μηδὲ ἐλπί-
ζειν ἐπὶ πλούτου ἀδηλότητι· ἀλλ᾽ ἐ-
πὶ τῶι θῶι τῶι παρέχοντι πάντα
πλουσίως εἰς ἀπόλαυσιν· ἀγαθοερ-
γεῖν· πλουτεῖν ἐν ἔργοις καλοῖς·
εὐμεταδότους εἶναι· κοινωνικούς·
ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέ-
λιον καλὸν εἰς τὸ μέλλον:—
Ὑμεῖς ἀδελφοὶ μὴ ἐκκακῆτε καλοποι-
οῦντες· τῆς εὐποιΐας καὶ τῆς κοινω-
νίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις
γὰρ θυσίαις εὐαρεστεῖται ὁ θς:—
ἰακώ | Κατακαυχᾶται ἔλεος κρίσεως:—
ἀπ | Πλούσιός ἐστιν ἐκεῖνος, ὁ πολλοὺς ἐλεῶν·
πέ-
τρου | καὶ ὁ κατὰ θῦ μίμησιν ἐπιδιδοὺς ἐ-
ἀπ | ξ ὧν ἔχει· θς γὰρ πάντα τοῖς πᾶσιν ἐπαρκῶν,
ἐκ τῶν αὐτοῦ κτισμάτων· σὺ μὲν ἐπλού-
σιοι ὁ τὴν διακονίαν ὀφείλεις· λαμβάνοντες

πλείονα ὧν αὐτοὶ χρήζετε. μάθετε ὅτι ἑτέροις λείπει τὰ ὑμῖν περισσεύοντα· αἰσχύνθητε κατέχοντες τὰ ἀλλότρια· μιμήσασθε ἰσότητα θῦ. καὶ οὐδεὶς ἔσται πένης:

Βασι

μιμήσαι τὴν γῆν ἄνε· καρποφόρησον ὡς ἐκείνη· μὴ χείρων φανῇς τῆς ἀψύχου· ἐκείνη μὲν γὰρ οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν· ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψεν· σὺ δὲ ὅσον ἂν ἐπιδείξῃς τῆς ἀγαθοποιΐας καρπόν. σεαυτῷ τοῦτον συνάγεις· διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν· ἔδωκας τῷ πεινῶντι. καὶ σὸν γίνεται τὸ δοθὲν μετὰ προσθήκης ἐπανελθόν: ὡς ὁ σπόρος σῖτος πεσὼν εἰς τὴν γῆν κέρδος τῷ προϊεμένῳ γίνεται. οὕτως ὁ ἄρτος εἰς τὸν πεινῶντα καταβληθείς, πολλὴν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδίδωσιν:

τὰ φρέατα ἐξαντλούμενα ἀφθονώτερα γίνονται· ἐναφιέμενα δέ, κατασήπεται· καὶ πλούτου τὸ μὲν στάσιμον, ἄχρηστον· τὸ δὲ κινούμενον καὶ μεταβαῖνον. κοινωφελὲς καὶ πολύκαρπον· δὸς χάριν τῷ εὐεργέτῃ· ὅτι οὐχὶ αὐτὸς ἐνοχλεῖς θύρας ἑτέρων. ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσιν:

λάμφανωμ ὁ ἄπορος τῷ πλουσίῳ θεῷ· πιάσσομ τὸ ἀεί, εἰς πρόσωπομ ἴδιομ ὑπὲρ τοῦ ἐλεουμένου λαμβάνομτι. καὶ οἴκοθεν ἀποδιδόμτι τὴμ χάριμ. ἀξιόπιστος γὰρ ἐστὶμ ἐγγυητής· πανταχοῦ γῆς τε καὶ θαλάττης. ἡ πλουτουμένοις ἔχωμ τοὺς θησαυρούς:—

Σκορπιζόμενος ὁ πλοῦτος καθ᾽ ὃμ ὁ κ̅ς̅ ὑποτίθεται τρόπομ. πέφυκε παραμένειμ· συνεχόμενος δὲ ἀλλοτριοῦσθαι· ἐὰμ φυλάττῃς, οὐκ ἕξεις· ἐὰμ σκορπίσῃς, οὐκ ἀπολέσεις· ἐσκόρπισε γὰρ ἔδωκε τοῖς πένησιμ, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸμ αἰῶνα τοῦ αἰῶνος:—

Ἐμ πανηγύρει οὐδεὶς λυπεῖται. προϊέμενος τὰ παρόντα καὶ ἀντικτώμενος τὰ ἐνδέοντα· ἀλλ᾽ ὅσῳ ἂμ εὐωνότερομ τιμήσῃ τὰ πολυτίμητα περικτᾶται. τοσοῦτομ χαίρει ὡς λαμπροῦ αὐτῷ τοῦ συναλλάγματος γενομένου· σὺ δὲ λυπῇ χρυσίον καὶ ἀργύριομ διδούς· τοῦ [illegible] χοῦν παρερχόμενομ ἵνα κτήσῃ τὴμ μακαρίαν ζωήν; προλαβὼμ ἐνταφίασομ σεαυτόμ. καλὸμ ἐντάφιομ ἡ ἐλεημοσύνη καὶ ἡ μετάδοσις· πάντα περικειμένος ταῦτα ἄπελθε· οἰκεῖομ κόσμομ τὸμ πλοῦτομ ποίησομ· ἔχε αὐτὸμ μετὰ σεαυτοῦ. πείσθητι καλῷ συμβούλου

μαι τῷ ἀγαθοποιήσαντί σε χρή. τῷ δὲ ἡ-
μᾶς προσχάσαντί τι. ἵνα τῇ ἐκείνου
προσχείᾳ πλουτήσωμεν:—

Ὃ ἐὰν προσχῇ παρ' ἑαυτὸν πένησι διὰ τὸν
κν, τοῦτο καὶ δῶρόν ἐστι καὶ δάνεισμα·
δῶρον μέν, διὰ τὴν ἀνεπιστασίαν τῆς
ἀπολήψεως· δάνεισμα δέ, διὰ τὴν
μεγαλοδωρεὰν τοῦ ἀποτιννύοντος
ὑπὲρ αὐτοῦ· ὃς μικρὰ λαμβάνων διὰ
τοῦ πένητος, μεγάλα ὑπὲρ αὐτοῦ ἀπο-
δώσει· ὁ γὰρ ἐλεῶν πτωχόν, θεῷ
δανείζει φησίν:—

Ὁ τὰ χρήματα διδούς, ἐλεημοσύνην
αἰτεῖ παρὰ σοῦ διὰ τῆς χειρὸς τῶν
πενήτων· κἂν λάβῃ τὰ ἑαυτοῦ, ἀκε-
ραίαν σοι τὴν χάριν ὡς οἰκείαν ἀπο-
μοιροῖ:—

Ὁ πλούσιος, οὐ πάντως
ζηλωτός ἐστι διὰ τὸν πλοῦτον· οὐχ ὁ
δυνάστης διὰ τὸν ὄγκον τοῦ ἀξιώματος·
ὄργανα γάρ ἐστι ταῦτα τῆς ἀρετῆς
τοῖς καλῶς κεχρημένοις. οὐκ αὐτὰ ἐ-
ν ἑαυτοῖς ἔχοντα τὸ μακάριον· ὁ
μὲν οὖν κακῶς αὐτοῖς κεχρημένος,
ἐλεεινός· ὥσπερ ὁ τῷ ξίφει ὃ ἔλαβε
πρὸς τὴν τῶν πολεμίων ἄμυναν, τού-
τῳ ἑκουσίως ἑαυτὸν κατατιτρώσκων·
εἰ δὲ καλῶς καὶ κατὰ τὸν ὀρθὸν λόγον τὰ
παρόντα μεταχειρίζεται. οἰκονόμος

ἐπὶ τῶν παρὰ θεοῦ δεδομένων· ἐπαινεῖσθαι καὶ ἀγαπᾶσθαι. ὁ τοιοῦτος ἀεὶ καλός ἐστι· διὰ τὸ φιλάδελφον καὶ κοινωνικὸν τοῦ τρόπου:—

θεο

Οὐδὲν τῶν ἁπάντων οὕτως, ὡς εὐεργεσίαι θεὸς θεραπεύεται· ὅτι μὴ δὲ οἰκειότερον ἄλλο τούτου θεῷ, οὗ εὐεργεσίαι καὶ ἀλήθεια προπορεύονται:—

Δὸς τῷ θεῷ χαριστήριον· ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων· ὅτι μὴ ἀπέβλεψας εἰς ἀλλοτρίας χεῖρας, ἀλλ' εἰς τὰς σὰς ἕτεροι· πλούτησον μὴ περιουσίαι μόνον, ἀλλὰ καὶ εὐψυχίαι· μὴ μόνον τὸ χρυσίον, ἀλλὰ καὶ τὴν ἀρετήν:—

Γίνου τοῦ πλησίον τιμιώτερος, ἐκ τοῦ φανῆναι χρησιμώτερος· γίνου τοῖς τυχοῦσι θεός, τὸν ἔλεον θεοῦ μιμούμενος· οὐδὲν γὰρ οὕτως ὡς τὸ εὐποιεῖν ἄλλους ἔχει θεοῦ:— Οὐδεὶς μετέγνω τῶν θεῷ τι προσενεγκάντων· πολὺς ἔσται εἰς ἀντίδοσιν:—

Ἔστω τὸ ἀγαθὸν ὑμῶν ἐκ τῆς χρείας, μὴ τοῦ περισσεύματος· ἢ μᾶλλον καρποφορίαι θεὸς εὐφραίνεται. ἢ πλήθει τῆς εἰσφορᾶς καὶ μεγέθει τῆς ἀντιδόσεως:—

Φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ ὁ θεός, κἂν ὑπ' αὐτοῦ κολαζώμεθα· τὸ δὲ

κάλλιστον καὶ φιλανθρωπότατον, ὅτι
μὴ τῇ ἀξίᾳ τοῦ διδομένου· τῇ δὲ δυ-
νάμει καὶ τῇ προθέσει τοῦ καρποφο-
ροῦντος· μετρεῖ τὴν ἐπίδοσιν :—

χήρας μὴ ἀναμεμφθήτως ζητεῖσθαι χ(ριστό)ς, ἀλλ᾽ εἰ δὴ ἠγνόουν·
μὴ δὲ ὅτι τῆς ἀξίας λάθοι. τὸ πᾶν
ὑστέρηκας· ἀλλὰ τὸ μὲν εἰσένεγκε, τὸ
δὲ προσεμελήθη τι :—

Οὐδὲν οὕτως τῶν εἰσφερομένων θεῷ
κἂν ἐλάχιστον ᾖ, κἂν πολὺ τῆς ἀξίας
λειπόμενον, ὃ μὴ προσίεται πάντως
καὶ ἀποδέχεται :— μηδεὶς ἀπόκενος
μὴ δὲ ἄκαρπος· μὴ δέ τις ἄρουρα αὐ-
χὴ καὶ ἄφορος· ἕκαστος ἐκ τῶν παρόν-
των. καρποφορεῖ τῷ θεῷ καὶ τῶν οἰκείων :—

Κἂν ὄντι σὺ τῶν ἁρπαγῶν καὶ τοῦ φθόνου·
Χ(ριστ)ῷ χρεωστεῖν μᾶλλον, ἢ τὰ πάντ᾽ ἔχειν·
ὃς καὶ βασιλείαν ἐράσματος χαρίζεται :—
Χ(ριστὸ)ν ἐκθρέψεις τρέφεις τε, τὸν πτωχὸν
τρέφων :— Εἰ μηδὲν ὀφλεῖς τῷ θεῷ
τιμωρίας, μηδ᾽ αὐτὸς ἴσθι τοῖς ὀφλοῦ-
σι συμπαθής· εἰ δ᾽ οἶδας ὀφλῶν, καὶ
πρόχειρον τὸ πρᾶον· οἰκτοῖς γὰρ οἶκτος,
τῷ θεῷ σταθμίζεται : εὐεργετῶν, νό-
μιζε μιμεῖσθαι θεόν :—

νύσσης Βαρύ τι χρῆμα τὸ χρυσίον ἐστί· κοῦφον δέ
τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή· εἰ οὖν
χρὴ τοῖς ἄνω προσβαίνειν, τῶν καθελκόν-

τωμ πτωχάσωμεν. ἵνα ἐμπρισάμενο
μώμεθα. ἀμήχανον τὸν κοῦφον γε
νέσθαι. τὸν τῷ βάρει τῆς ὕλης ἑ
αυτὸν συνηνώσαντα:— Ὁ πτωχοῖς
ἑτοίμως κοινωνήσας, εἰς τὴν μερίδα
τοῦ δι' ἡμᾶς πτωχεύσαντος ἑαυτὸν
καταστήσει:— Οὐκ ἔστι κώλυμα
πρὸς ἐλεημοσύνην πενία. ς
μάρτυς ἡ χήρα ἡ τὰ δύο λεπτὰ κα
βαλοῦσα. ς τοὺς τὰ πολλὰ καταθέντας
ὑπερακοντίσασα:—
τὴν πρόσοδον δὲ ἐνδεούμενος. εἰς ὅ ὑστερεῖ
πληθεῖαν χρημάτων εἶν. καὶ ταῖς
χοῖς προσκρούων καὶ ἐχθροῖς ἔχων
πολεμίους. οὗτος ὅλο ποιοῖς γίνεται τῆς
εἰς οὐρανὸν ἀναβάσεως:—
Δέχου πένητα ὅ ἡ μήτηρ δικαιοσύνη
θεοδοκεῖται διὰ τῆς χειρὸς τοῦ
πένητος. τοῦ δικαστοῦ τὴν παρα
θεραπεύει. δέχεται γάρ σου τὰ δι'
αὐτοῦ δῶρα. ς παραχαράττει
τοῖς νόμοις. δέχεται ς ἀντιδίδωσι
οὐρανὸς γίνεται. δέχεται. ς τῆς
ἀπειλῆς προστάττει τὸν ἔλεον.
καὶ τῇ πλάσει τῶν ἁμαρτημά
των. ἐν τῇ ἐκτεταμένῃ τὴν χεῖρα τοῦ π:—
Ὁ τὸν διαθρέψας τὸν πένητα. σαυτὸν
νόμιζε διατρέφειν. τοιαύτη γὰρ ἡ τοῦ

πράγματος φιστις· ἐξ ἡμῶν εἰς ἡμᾶς
μεταχωρεῖ τὰ διδόμενα· ὁ γὰρ φι
λαμος ἡμῶν δεσπότης τὸ ἡμέτερον ἐ
πιδὼν μικρὸ τυχόν· εἰς ὑπερκόσμιον
ἄμετρον ἂν ἀπέμπει τὸ ἔργον· καὶ ἑ
αυτὸν χρεώστην τῆς ἐλεημοσύνης
καλεῖ:— ὢ πόση τῆς ἐλεημοσύ
νης ἡ δύναμις· μόνη τὸ θεῖον ὑπει
σέρχεται δικαστήριον· μὴ φοβηθῶ
μεν δικαστὴν πρὸ τοῦ δικαστηρίου
τὴν χεῖρα προτείνοντα· μὴ φοβη
θῶμεν δικαστήν, ὁ λκάρμουμενον τοραμῆν:—

Κυρίλ
λου·

τὸ τῆς ἐλεημοσύνης χρῆμα, διασμὴ
χει ἁμαρτίας· κατακαυχᾶται κρί
σεως· ἡμεροῖ τὴν τῆς κολάσεως φλό
γα· δυσωπεῖ τὸν δικάζοντα· μᾶλ
λον δὲ συνάγει θεῷ· τοῖς τῶν ἀγγέλων
χοροῖς ἐναριθμεῖ· ἀποφέρει δὲ καὶ
εἰς τὴν ἄνω πόλιν· βασιλείαν οὐρα
νῶν προξενεῖ· δόξαν ἀμύθητον· ἐλ
πίδα βεβαίαν καὶ ἐρηρεισμένην:—

Ὁ τοῖς ἐν ἐνδείᾳ πτωχομένοις τὸν ἴ
διον διανέμων πλοῦτον· οὐ πτωχεύσει πο
τε· συνεπόρευσε γὰρ μᾶλλον αὐτὸν ἐν τοῖς
ὁμοίοις· ὁ γὰρ ἐλεῶν πτωχόν, θεῷ δα
νείζει φησίν· ἀξιόχρεως ὁ δανει
ζόμενος· πιστὸς ὁ δεχόμενος· οἶδεν
ἐκτίσαι σὺν τόκῳ τὸ δοθέν:—

Κλημ
αρω
δυνατὸς ἦν ὁ θ(εό)ς, ποιῆσαι μηδένα
πένηται· ἀλλὰ τὸ εὐποιεῖμ περι-
ρεῖτο
ἀλλ' ἴσομεν ἐκεῖ καὶ εὐποροῦμεμ καὶ
ἀποροῦμεμ· ἵνα τὸ πῶς γενώμε-
θα τῇ εὐποιΐᾳ:— ἐλεήμονας
εἶναι νομίζομεν· οὐ μόνον τοὺς εὖ
ποιοῦντας, ἀλλὰ καὶ τοὺς θέλομ-
τας εὐποιεῖμ κἂμ μὴ δύνωνται·
οἷς κατὰ προαίρεσιν τὸ ἐμεργὰμ
πάρεστι· τῆς αὐτῆς οὖν μεθέξουσι
τιμῆς· τοῖς δυνηθεῖσιν οἱ κωλυό-
μενοι· ὧν ἡ προαίρεσις ἴση· κἂμ
πλεονεκτῶσιν ἕτεροι τῇ περιουσίᾳ:—
Ἐλεημοσύνας δεῖ ποιεῖν ὁ λόγος φη-
σίν· ἀλλὰ μετὰ κρίσεως· καὶ τοῖς ἀξί-
οις· καὶ ὥσπερ ὁ γεωργὸς σπείρει
οὐχ ἁπλῶς τὴν γῆν· ἀλλ' εἰς τὴν ἀγαθὴν
ἵνα αὐτῷ καρποὺς κομίσῃ, οὕτως
δεῖ σπείρειν τὴν εὐποιΐαν, εἰς χή-
ρας· εἰς ὀρφανούς· εἰς τοὺς ἀπορι-
σάτους· ἵνα τῆς ἀπ' αὐτῶν εὐκαρπί-
ας· διὰ τῶν εὐχῶν ἐπιτύχῃς:—
Δλον
Ἀλεξάν
Τοῦ ἐλεεῖν καὶ εὐεργετεῖν, οὔτε προτι-
μότερον οὔτε φιλανθρωπότερον ἐστὶν
ἡμῖν, τί ἕτερον· ἐπεί, μηδὲ τῷ θεῷ:—
Νει
Οἱ δὲ μὴ τρέφοντες ὁ δεσπότης τῶν ὅλων
διαμεταδόσεως τῆς πρὸς τοὺς εὐποιου-
μένους:—

Ἢν ποιεῖς ἐλεημοσύνην εἰς πάν
τας τοὺς δεομένους, ὁ Χς σφετερίζε
ται· ἐπείνασα γάρ φησι. καὶ ἐδώκα
τέ μοι φαγεῖν· ἐδίψησα καὶ ἐποτίσατέ με:—

ρνθ Π^ε τῶν ἐλεημοσύνην μὴ ποι
ούντων. ἀλλὰ πλεονεκτούντ:—

ἰὼβ Οἱ σπείροντες τὰ ἄτοπα, ὀδύνας θερί
σουσιν ἑαυτοῖς· ἀπὸ προστάγματος κυ
ἀπολοῦνται· ἀπὸ δὲ πνς ὀργῆς αὐ
τοῦ ἀφανισθήσονται:— αὐτὸς οἶδεν
ἔργα ἀνόμων· ἰδὼν δὲ ἄτοπα, οὐ πα
ρόψεται:— Οὐκ ἔστι τόπος τοῦ κρυ
βῆναι, τοὺς ποιοῦντας τὰ ἄνομα:—
Οὐαὶ καὶ ἀπώλεια τοῖς ἀδίκοις· συντρι
βείη πᾶς ἄδικος. ἴσα ξύλοις ἀνιάτοις:—
Πλοῦτος ἄδικος συναγόμενος, ἐξεμεθήσεται:—
Δαδ Πρόσωπον κυ, ἐπὶ ποιοῦντας κακά:— Μὴ
φοβοῦ ὅταν πλουτήσῃ ἄνος. ἢ ὅταν:—
Ἄνδρα ἄδικον, κακὰ θηρεύσει εἰς δια
παροιμ φθοράν:— Δώρων ὁ φειδόμενος, θυ
μὸν ἐγείρει ἰσχυρόν:—
Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους:—
Ὃς ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ ἀπὸ πτω
χοῦ, ἐν πολλῇ ἀπορίᾳ ἔσται:—
Ἐξολλύει τὸ ἑαυτοῦ σῶμα, ὁ ἀνελεήμων:—
Τοῦ ἀργυρίου, ὑπακούσεται τὰ σύμπαντα:—
ἡσαΐου Οὐαὶ οἱ συνάπτον τὴν οἰκίαν πρὸς οἰκίαν·
Καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζον, ἵνα τοῦ πλη:—

ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν.
τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου. καὶ τὸ
πρόσωπον τῶν πτωχῶν καταισχύνεται
μάλλακος. ἐγὼ δέδωκα εἰς τὰς χεῖρας
ὑμῶν, ὑμεῖς δὲ οὐ δεδώκατε αὐτοῖς
ἔλεος. ὅταν ἐκτείνητε τὰς χεῖρας
ὑμῶν, ἀποστρέψω τοῖς ὀφθαλμοῖς μου
ἀφ᾽ ὑμῶν. αἱ γὰρ χεῖρες ὑμῶν, αἵματος πλήρεις:—

σιράχ μὴ ἐπιχαιρε ἐπὶ χρήμασιν ἀδίκοις. οὐ
δὲν γὰρ ὠφελήσουσιν ἐν ἡμέρᾳ ἐπαγωγῆς:—

ὁ οἰκοδομῶν τὴν οἰκίαν αὐτοῦ ἐν χρήμασιν
ἀλλοτρίοις, ὡς ὁ συνάγων τοὺς λίθους αὐ-
τοῦ εἰς τὸν χειμάρρουν:—

ὥσπερ λέων θήραν ἐνεδρεύει, οὕτως ἁμαρ-
τία τοῖς ἐργαζομένοις ἄδικα:—

θύων υἱὸν ἔναντι πρς αὐτοῦ, ὁ προσάγων
θυσίαν ἐκ χρημάτων πενήτων:—

ἀγαθὸς ὁ πλοῦτος, ᾧ μὴ ἔστιν ἁμαρτία:—

ὁ ἀγαπῶν χρυσίον, οὐ δικαιωθήσεται:—

πολλοὶ ἐδόθησαν εἰς πτῶμα χάριν χρυ-
σίου. καὶ ἐγενήθη ἡ ἀπώλεια αὐτῶν, κα-
τὰ πρόσωπον αὐτῶν:— κυνήγια λεόντ.
ὄναγροι ἐν ἐρήμῳ. οὕτως νομαὶ πλουσίων πτωχοί:—

μακάριος πλούσιος, ὃς εὑρέθη ἄμωμος.
καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη:

ἐπὶ πλουτῶν, ἀπὸ προσοχῆς ἐφιλίας αὐτοῦ.
καὶ καταλλάττη αὐτοῦ ἐχθροῖς καὶ ἀποθαμεῖται:—

ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ, συνάγει ἄλλοις.

Καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ, τρυφήσουσιν ἕτεροι:— Ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθός:— Τέκνον· καθόσον ἔχεις, εὖ ποίει ἑαυτῷ:—

εὐαγ

Οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν:— Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε· οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε:— ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων:— ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν:—

ἀπο

Διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε· διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε, ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε. καὶ ταῦτα ἀδελφούς· ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν θῦ οὐ κληρονομήσουσιν:— Ὁ ἀδικῶν κομιεῖται ὃ ἠδίκησεν. καὶ οὐκ ἔστι προσωποληψία:— ἀποστήτω ἀπὸ ἀδικίας, πᾶς ὁ ὀνομάζων τὸ ὄνομα τοῦ θῦ:—

Οἱ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν· καὶ εἰς παγίδα· καὶ εἰς ἐπιθυμίας ἀνοήτους καὶ βλαβεράς· αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους, εἰς ὄλεθρον καὶ ἀπώλειαν· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία:—

ἀπο ἰακώβου·

Ἡ κρίσις ἀνέλεος, τῷ μὴ ποιήσαντι ἔλεος:— Οἶδεν Κσ εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι· ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν:—

βασι ἄκουε ἄνε σολομῶντος· μὴ εἴπῃς
ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώ-
σω· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα:—
συμμεριστὰς ποίησον τῶν σηπτῶν τοὺς
ἀδελφούς σου· τὸ αὔριον σηπόμενον,
σήμερον μετάδος τοῖς δεομένοις·
πλεονεξίας εἶδος τὸ χαλεπώτατον,
μηδὲ τῶν φθειρομένων τοῖς ἐνδε-
έσι μεταδίδοσθαι:— Ὅσον πλεονά-
ζεις τῶι πλούτωι, τοσοῦτον ἐλλείπεις
τῆι ἀγάπηι· διὰ τί ἀθυμεῖς φθαρτὰ
προϊέμενος. ἵνα σὺ λάβῃς ἀμοιβὴν ὁσίων ἀντιμαμμωνᾶ:—
ἐὰν ἴδῃς τινὰ τῶν ὑπερπλουτούντων,
μὴ μακαρίσῃς αὐτοῦ τὴν ζωήν·
ἐὰν πολλαχόθεν ἐξ ἀφθόνων πηγῶν
περιρρέῃ τὰ χρήματα, μὴ προσδέ-
ξῃ αὐτοῦ τὴν περιουσίαν· ῥευστὴ γὰρ
ἡ φύσις τοῦ πλούτου· χειμάρρου ὀξύ-
τερον τοὺς ἔχοντας παρατρέχει· ἄλ-
λοτε ἄλλον πέφυκε παραμείβεσθαι:—
θεο πᾶς ὁ ἀδικῶν, εἰς ἀπομοιρίαν ἕτοιμος:—
πένης προσῆλθεν, εἶτ' ἀπῆλθε μὴ τυ-
χών· δέδοικα, Χ(ριστ)έ, μὴ κἀμὲ τῆς σῆς
χειρὸς πένητα:— μὴ ἀγαπήσῃς τὸν
πλοῦτον, εἰ μὴ ἵνα ὠφελῇ πένησιν:—
μὴ μίξωμεν τὸν ἡμέτερον πλοῦτον ἀλλοτρί-
οις δάκρυσιν· ἰῶν, ὡς ἀπὸ ἰοῦ καὶ σητὸς
δαπανηθήσονται· ἢ τὸ τῆς γραφῆς εἰπεῖν
ἐξεμεθήσονται:—

Νύσσης ἄξιόν σοι τῆς σπορᾶς τὸ θέρος· καὶ τὰ ἑξῆς:~
Οὐδεὶς πώποτε τοῦ κερδαίνειν γίνεται κόρος: προσγραφή:~

☧ Τί ματαιοπονεῖς ὦ πλούσιε, τὰ τῶν πενήτων ἐν τοῖς σοῖς θησαυροῖς ἀποκρύπτων· τί αἰτούμενος παρ᾿ αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων· τὰ πατρῷα θησαυρίσματα οὐ τὰ σά· τὰ ἐγχειρισθέντα σοι δι᾿ αὐτούς. οὐ μετὰ σοῦ γεννηθέντα. ἔλαβες, δός. καὶ τὴν χρῆσιν κέρδαινε. καὶ ἀρκεῖ σοι ὅτι δίδοναι καὶ οὐ λαμβάνειν ἐτάχθης:~

Ὁ καταμαλακισθεὶς καὶ τοῖς παροῦσιν ἑαυτὸν προσκολλήσας· ἀσπαζόμενος καὶ χωριζόμενος. μειζόνως δάκνεται καὶ θρηνεῖ. ὁ δὲ πένης οὐχ οὕτως· ἀλλὰ τὸ πλοῦν φιλοσοφήσας κατὰ τὸν ἔμπροσθεν χρόνον, οὐ μετὰ τοσαύτης δέξεται τῆς ἀθυμίας τὸν θάνατον· ἀλλὰ καὶ παρὼν καὶ προσδοκώμενος, ἐκεῖνον φοβερὸς μᾶλλον ἢ τούτω:~

Εἰρηναίου ὁπόταν τις δυνατὸς ὢν εὖ ποιεῖν τοὺς πλησίον καὶ μὴ ποιῇ, ἀλλότριος τῆς ἀγάπης τοῦ κυρίου νομισθήσεται:~

ηει Τοῖς τὴν ἄκραν φιλοχρηματίαν καὶ φειδωλίαν ἐξησκηκόσιν ἀνθρώποις· πολλὰς πρὸς ζημίαν ἀφορμάς, ἡ πρόνοια περιποιεῖν εἴωθεν:~

Μάλιστα τοῖς πρὸς ἀρετὴν ἐναγομένοις ἐμπόδιον, ἡ τῶν κοσμικῶν πραγμάτων προσθήκη· καὶ τύχη,

Ἰωσήπ καὶ σῶμα πολλάκις ὄλεθρον προξενοῦσα:~

Πάντων ἀνθρώπων ὁδὸν ποιεῖ τὸ κέρδος:~ ~

τέλος τούτων:~

ἀπ(όστολος) Σπούδαζε σεαυτὸν δόκιμον παραστῆσαι
τῶι θεῶι· ἐργάτην ἀνεπαίσχυντον:~
μι(χαίας) μὴ καταπιστεύετε ἐν φίλοις· καὶ μὴ ἐλπίζετε
ἱερε(μίας) ἐπὶ ἡγουμένοις:~ Ἕκαστος ἀπὸ τοῦ
πλησίον αὐτοῦ φυλάξασθε· καὶ ἐπ' ἀδελ-
φοῖς μὴ πεποίθατε· ὅτι πᾶς ἀδελφὸς πτέρ-
νηι πτερνιεῖ· καὶ πᾶς φίλος δολίως πο-
ρεύσεται· ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ καταπαίζει:~
σο σοφὸς καρδίαι, δέξεται ἐντολάς:~ πᾶσαν δι-
ήγησιν θεοῦ, θέλε ἀκροᾶσθαι· καὶ παροιμίαι
συνέσεως μὴ ἐκφευγέτωσάν σε:~ Διανοοῦ
ἐν τοῖς προστάγμασι κυ· καὶ ἐν ταῖς ἐντο-
λαῖς αὐτοῦ, μελέτα διαπαντός:~
☧ Ἀκόρεστος ἡ γλυκύτης τῶν πνικῶν ῥημάτων:~
ἐντυγχάνειν δεῖ ταῖς θείαις γραφαῖς· ὥσ-
περ γὰρ οἶνος πινόμενος ἀναπαύει λύπην
καὶ μεταλλάσσει τὴν καρδίαν εἰς εὐφροσύνην,
οὕτως ὁ πνικὸς οἶνος, εἰς εὐφροσύνην μετα-
σιρά(χ) λλάσσει τὴν ψυχήν:~ Κρεῖσσον θάνατος
ὑπὲρ ζωὴν πικράν· ἢ ἀρρώστημα ἔμμονον:~
☧ ἐὰν ψυχὴ εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν, τὴν θλῖψιν ἐνδύσασθαι· ὁ γὰρ μὴ θλι-
βόμενος, οὐδαμῶς εἰσελεύσεται· διότι στενὴ
νεῖ(λου) ἐστὶν ἡ πύλη:~ Ὁ ἐκθλίβων ἑαυτὸν ἐν τῆι
στενῆι, οὗτος δῆλον ὅτι τεύξεται τῆς θείας
ἐκείνης εὐρυχωρίας καὶ ἀναπαύσεως· ὁ δὲ ἐμ-
πλατύνων ἑαυτὸν ἐν τῶι παρόντι αἰῶνι διὰ
σπατάλης καὶ μέθης καὶ δόξης ἀπανθούσης, οὐκ ἂν
εἰσέλθοι [illegible]:~

σιραχ ᾅδης καὶ ἀπώλεια, οὐκ ἐμπίπλανται:—
βασι τὰ ἐν ᾅδου κακά, οὐ θ͞ν ἔχει τὸν αἴτιον.
ἀλλ' ἡμᾶς αὐτούς:—
⳨ ᾅδης, κοινὸν πανδοχεῖον ἐστί. ϗ θρήνων ἐργαστήριον:—
φιλ ἰσότης. πηγὴ δικαιοσύνης:— πᾶν τὸ ἄνισον, ἀγάπης ἀλλότριον:—
θεο δέχου τὸ νικᾶν, ὡς καιρὸν ἔχον τὰ πάντ' ἡμέραν:—
τοῦ ἐκ κλη · καιρὸς τοῦ λαλεῖν ϗ καιρὸς τοῦ σιγᾶν· καιρὸς τοῦ φιλῆσαι, ϗ καιρὸς τοῦ μισῆσαι· καιρὸς πολέμου, ϗ καιρὸς εἰρήνης:—
ὠσηέ. ἵνα τί γὰρ ἐσιωπήσατε ἀσέβειαν. ϗ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε:—
σιραχ συντήρησον καιρόν. ϗ φύλαξαι ἀπὸ πονηροῦ· ἀκαίρως μὴ σοφίζου· μὴ δ' αὖ πάλιν κωλύσῃς σοφώτερον ἐν καιρῷ σ͞ρίας:—
· ἄν͞ος σοφός, σιγήσει ἕως καιροῦ· ἀπὸ δὲ στόματος μωροῦ, ἀποδοκιμασθήσεται παραβολή· οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς:—
βασιλείου. δεῖ, ἵνα περιαχθῇς μετὰ καλλονῆς ὀφθαλμῶν. καὶ ἀγαθὸς ὁρᾶσθαι καλεῖ:— ὥσπερ ἀνελαῶν,
θεο οὐκ ἴσως ἀνὴρ ἐν παντὶ ἱκανὸς ἀπὸ ἴχνους ποδὸς αὐτοῦ ἕως κορυφῆς:— ὁ λέγων ὁ καλὸς πίνων, ἀλ[illegible] μετὰ [illegible] ἄξιον εἶδος· [illegible] ὅμοιος, καταθεῖν χειρῶν [illegible] ὁ [illegible] γὰρ ϗ πολύχρυσος
σολο ὑπάρχων, [illegible] καθαρὰ:— μὴ φάγῃς
ἀπ' ἰακ καταλαλιὰν [illegible]:— μὴ καταλαλεῖτε

ἀλλήλων ἀδελφοί· ὁ καταλαλῶν ἀδελφοῦ ἢ
κρίνων τὸν ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου·
καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐ
κ ἔτι εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής· εἷς
ἐστὶν ὁ νομοθέτης καὶ κριτής· ὁ δυνάμενος
σῶσαι καὶ ἀπολέσαι:—

※· Ἐάν τίς σε εἴπῃ κακῶς· εἰ μὲν ἀληθὲς λέ
γει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον·
εἰ συνοίδας σεαυτῷ τὰ εἰρημένα, σω
φρόνισαι· εἰ δὲ μὴ συνοίδας, καταφρόνησον:

Σιράχ μὴ διαμάχου μετὰ ἀνθρώπου δυνάστου· μή ποτε
ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ:— Ἰσχυρο
τέρῳ καὶ πλουσιωτέρῳ σου μὴ κοινώνει·
τί γὰρ κοινωνήσει χύτρα πρὸς λέβητα·
αὕτη προσκρούσει καὶ αὕτη συντριβήσεται:—
σκληρόν σοι πρὸς κέντρα λακτίζειν:—

Νει μὴ περιεργάζου τὰ ὑπὲρ σέ· μόνον δὲ γίνω
σκε ὅτι βουλήσει τοῦ θῦ καὶ τῇ φύσει ταῦτα πάν
τα γίνεται· μὴ μέντοι καταζήτει [illegible]
τὸν λόγον τῆς ἀκριβείας· πάντως ὅτι κἀ
κεῖνος ἀπεφήνατο ἀνεξερεύνητα εἶναι
τὰ κρίματα τοῦ θῦ· οὐκ ἐστὶ δυνατὸν
καταλαμβάνειν τὰ ἴχνη τῶν ὁδῶν κυ καὶ τῶν
αὐτοῦ βουλημάτων· τὰ γὰρ κρίματα αὐ
τοῦ ἄβυσσος πολλή, καθά φησιν ὁ προφήτης:—

Εὐσε βίου· μὴ βιάζου ῥόον ποταμοῦ φησὶν ἡ γραφή:—
Ὁ διάκονος ἐκδεχόμενος τὴν ὥραν τοῦ θανάτου, προ
λαβὼν ἑτοιμάζει τὸ σῶμα· ἵνα τῇ ποιᾷ

ἐπιγραφῇ ὁ θάνατος :— ἐὰν τις τῇ οἰκείᾳ
προαιρέσει ἀπέλθῃ σφάξαι θηρίον ἐπιδεικνύ
μενος τὴν ἑαυτοῦ δύναμιν· καὶ σφάξῃ τὸ θηρί
ον καὶ ἀποθάνῃ ὑπ' αὐτοῦ, μετὰ τῶν παρανόμων
κρίνεται ἡ ψυχὴ αὐτοῦ· ἐὰν δὲ αἰφνιδίως ἐπιτε
θῇ τὸ θηρίον καὶ διαρρήξῃ τὸν ἄνθρωπον· μαρτυ
ρικῷ θανάτῳ τέθνηκεν ὁ τοιοῦτος· ὁμοίως
καὶ εἰς ποταμόν· καὶ εἰς θάλασσαν καὶ εἰς πῦρ,
καὶ εἰς τὰ λοιπὰ πάντα :—

σοφίας σολο(μῶντος) Δίκαιος ὢν, δικαίως τὰ πάντα διέπεις :—
Τοῖς κραταιοῖς, ἰσχυρὰ ἐφίσταται ἔρευνα :—

ἀποσ(τόλου) φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θ(εο)ῦ ζῶντος :—
πρόσωπον ὁ θ(εὸ)ς οὐ λαμβάνει· προσωποληψία
οὐκ ἔστι παρ' αὐτῷ :— θ(εὸ)ς ὁ δικαιῶν, τίς ὁ κα

βασι(λείου) τακρίνων :— οὔτε ὁ ἔλεος τοῦ θ(εο)ῦ ἄκριτος.
οὔτε ἡ κρίσις ἀνελεήμων· ἀλλὰ καὶ ἐλεῶν
κεκριμένως τοῖς ἀξίοις ἐπιμετρεῖ τοὺς οἰ
κτιρμούς, καὶ κρίνων ἐστοχασμένως τῆς
ἀσθενείας ἡμῶν ἐπάγει τὴν κρίσιν :—
μίσθωμα πόρνης, ἀμὸς οὐ μερίζεται :—

νύσης Οἱ λαμπροὶ τὴν συνείδησιν, ὡς φωστῆρες ἡμέ
ρας προσφέρονται :— οὐδὲν οὕτως
☧ ἡμᾶς εὐφραίνειν εἴωθεν, ὡς συνειδὸς
χρηστὸν καὶ ἐλπὶς ἀγαθή :—

ἰεζεκιήλ ἡ ἀσέβεια ὑμῶν ἐφ' ὑμᾶς· καὶ τὰς ἁμαρτίας
τῶν ἐνθυμημάτων ὑμῶν μιμεῖσθε :—

σολο(μῶντος) σκολιοὶ λογισμοὶ, χωρίζουσιν ἀπὸ θ(εο)ῦ :—
☧ εἰ οἱ παραδεχόμενοι ἀκοὴν ματαίαν οὐκ ἂν τύχοιεν

συγγνώμης· οἱ δὲ ἀνασχόμενοι καὶ λοιδοροῦν-
τες, ποίαν ἕξουσιν ἀπολογίαν :—

σιραχ ἐργάτης μέθυσος οὐ πλουτισθήσεται :— πικρία ψυχῆς, οἶνος πινόμενος πολύς :— πληθύουσα — ε π μέθης :— ρζ

βασι μέθη, θυμὸν ἄφρονος :— μέθη, αὐθαίρετος δαίμων ἐξ ἡδονῆς ταῖς ψυχαῖς ἐντικτόμενος· μέθη, κακίας μήτηρ· ἀρετῆς ἐναντίωσις· τὸν ἀνδρεῖον δειλὸν ἀποδεικνύουσα· τὸν σώφρονα ἀσελγῆ· δικαιοσύνην οὐκ οἶδεν· φρόνησιν ἀναιρεῖ :— μέθη, ἀμβλύτητος ἀρχή· σκότωσις ὅσα τοῦ ἡγεμονικοῦ· δι' οὗ μάλιστα θ(εὸ)ς ἐπιγινώσκεσθαι πέφυκεν :—

νει παροι ὁ τὸν μεθύοντα ἐπιχειρῶν νουθετεῖν, τί ἄρα ἀφελής :— ὁ ἄφρων φαῦλα, ὑβρίζει κακά :—

πάντες μάταιοι, οἱ πιόντες τὰ καταλείμματα αὐτῶν· ἃ οὐκ ὠφελήσει αὐτούς :—

σιραχ μισητὴ ἐναντίον κ(υρίο)υ καὶ ἀνθρώπων ἡ ὑπερηφανία :—

εὐαγ τὸ ἐν ἀνθρώποις ὑψηλόν, βδέλυγμα ἐνώπιον κ(υρίο)υ :—

ἡσαΐ ἐγώ εἰμι κ(ύριο)ς ἀγαπῶν δικαιοσύνην· καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας :— ἐὰν ἔλθητε ὀφθῆναί μοι εἰς πλησμονήν· οὐκ ἀνήσω τὰς ἁμαρτίας ὑμῶν· ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις :— ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ· καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ· καὶ ἐπιστραφήτω πρὸς κ(ύριο)ν καὶ ἐλεηθήσεται· ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν :— — ἔζω ε π μετανοίας

ἱερε^μ Ἐπιστράφηθι πρός με ἡ κατοικία τοῦ ἰηλ
λέγει κς. καὶ οὐ μηνιῶ ὑμῖν εἰς τὸν αἰῶνα·
πλὴν γνῶθι τὴν ἀδικίαν σου. ὅτι εἰς κν
τὸν θν σου ἠσέβησας :— Βελτίους ποι-
ήσατε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα· καὶ
ἀκούσατε τῆς φωνῆς κυ. καὶ παύσεται κς
τῶν κακῶν ὧν ἐλάλησε πρὸς ὑμᾶς :—

σοφίας σολο^μ μὴ ἀναμένης ἐπιστρέψαι ἐπὶ κν· ἔλεος γὰρ
καὶ ὀργὴ παρ' αὐτῷ :— Τέκνον. ἥμαρ-
τες; μὴ προσθῇς ἔτι· καὶ περὶ τῶν προ-
Βασι τέρων σου δεήθητι :— Ἐκακώθημεν
διὰ τῆς ἁμαρτίας. ἰαθῶμεν διὰ τῆς
μετανοίας· μετάνοια δὲ χωρὶς νη-
στείας ἀργή :— ἐξομολογούμενον, ὁ θς
οὐκ ἀποβάλλεται· οὐ θέλει γὰρ τὸν θάνατον
τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι ϛ ζῆν :—

Οἱ δὲν ἀνορθοῖ κατερραγμένους ὁ κς :—

Χρ Ὁ μετανοήσας ἐνδοίοις ἐξαγοράζει δημοσίοις. κἂν
μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐπιδεί-
ξηται τὴν μετάνοιαν. ϛ αὐτῆς ταύτης
ὅμως δέξει τὴν ἀντίδοσιν :—

Οὐκ ἔστιν οὐδὲ μία κακία, μετανοίᾳ νι-
κωμένη· διὰ τοῦτο γὰρ τὰ ἀκροθίνια
τῆς πονηρίας ἐξελέξατο ὁ θς :—

Κλαῦσον πρὸ καιροῦ, ἵνα μὴ ἐκεῖ κλαύσῃς· νῦν
μετανόει, ὅτε ἐστὶν καιρὸς μετανοίας· και-
ρὸν γὰρ ἐὰν ἀπολέσῃς, ἄλλον οὐχ εὑρήσεις :—

Οὐχ οὕτως ἐραστὴς τὶς μανικὸς τῆς ἑαυτοῦ ἐρωμένη καὶ ἐρᾷ, ὅσῳ ὁ θῦ τῆς μετανοούσης ψυχῆς. τοιαύτη γὰρ ἡ τοῦ δεσπότου φιλοτιμία· οὐδένα τῶν προσερχομένων ἀποστρέφεται, ἀλλὰ χαίρων ὁρᾷ. οὐκ ἔστι χρεία καιροῦ πρὸς τὸ σωθῆναι. ἀμέλει ὁ ληστής, οὐκ ἐν χρόνῳ· ἀλλ' ἐν ὥρᾳ μιᾷ ἐσώθη. πιστεύσας γὰρ μόνον, τὸν ἀδάπανον τὸν θησαυρὸν ἐκέρδησεν. μὴ οὖν ἀπογίνου· μηδὲ ἀφίστασο τῆς εὐχῆς· ἀλλὰ πρόσελθε ἁμαρτωλὸς ὤν, ἵνα δοξάσῃς σου τὸν δεσπότην· ἵνα δῷς αὐτῷ τὴν οἰκείαν φιλοτιμίαν, ἐν τῇ συγχωρήσει τῶν ἁμαρτημάτων τῶν σῶν ἐπιδείξασθαι. ὡς ἐὰν βουληθῇς προσελθεῖν, ἐνυβρίσας αὐτοῦ τῇ ἀγαθότητι· διεκώλυσας αὐτοῦ τῆς χρηστότητος τὴν δαψίλειαν. τὸ γὰρ εἰς σὲ ἧκον:—

Ὁ τοῦ θῦ φόβος, ἐκδιώκει πάσας τὰς κακίας. ἡ δὲ ὀκνηρία, ἐκδιώκει τὸν φόβον τοῦ θῦ. ἡ δὲ αἰχμαλωσία, ἐκδιώκει πάσας τὰς ἀρετὰς τῆς ψυχῆς:—

Τρεῖς εἰσὶν ἀρεταὶ αὗται, ἃς δυσκόλως κτᾶται ἄνθρωπος. τὸ πενθεῖν πάντοτε. ϛ τὸ προσέχειν ταῖς ἰδίαις ἁμαρτίαις. καὶ τὸ ἔχειν πρὸ ὀφθαλμῶν τὸν θάνατον ἑαυτοῦ:—

ἑνὸς εὐχομένου καὶ ἑνὸς καταρωμένου, τίνος φωνῆς εἰσακούσεται:—

ρξη περὶ ἐπισκέψεως ἀρρώστων:—

ἀπο μιμνήσκεσθε τῶν ἀσθενούντων ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι:—

Θεο Κρεῖττον ὑγιείας ἀχαλινώτου νόσος φιλόσοφος:—

☧ Κἂν μηδὲν ἔχῃς ἐπαρκεῖν τῷ κάμνοντι διὰ τὴν πενίαν, σαυτὸν εἴσαγε. καὶ τὴν ἀπὸ τῶν ῥημάτων αὐτῷ παράκλησιν προσένεγκε. οὕτω γὰρ κατ᾽ ἐκείνην τὴν ἡμέραν ἀκούσῃς, ἀσθενὴς ἤμην καὶ ἐπεσκέψασθε:—

Βασι περὶ νηστείας. Ἡ νηστεία ἀμυντήριος, ἡ τῶν κακῶν ἀποτρίψις:— ὥσπερ γὰρ οἱ ἐν τοῖς ἐγκάτοις τῶν παίδων ζωογονούμενοι σκώληκες φαρμάκοις τισὶ δριμυτάτοις ἐξαφανίζονται, οὕτως ἁμαρτίαν ὑποικουροῦσαν τῷ βάθει, ἐναποκειμένην τῇ ψυχῇ ἐπεισελθοῦσα νηστεία· ἀποπλύνει τὴν ψυχὴν ἀπὸ ἁμαρτίας:—

☧ Φάρμακόν ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας ἡ νηστεία· καὶ κατάπλασμα ψυχῆς μαλακτικόν, ἀποπληροῦσα πρὸς ὑγείαν:— νηστεία καὶ δέησις ἐκ θανάτου ῥύεται· δικαιοσύνη δὲ ὑπὲρ ἀμφότερα:— φιλήσωμεν τὴν νηστείαν· ὅτι μήτηρ σωφροσύνης ἐστί. καὶ πρὸς τὴν φιλοσοφίαν ἁπάσης:—

Συνεσίου τὰς πιθήκους φασὶν ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐναποπνίζειν τοῖς βρέφεσιν ἀγαμένας τοῦ κάλλους· οὕτως ἐστὶν ἡ φύσις αὐτῶν φιλότεκνος:—

ρξε περὶ ὀρφανῶν καὶ χηρῶν:

ἐξοδ Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε. ἐὰν δὲ κακίᾳ κακώσητε αὐτούς. καὶ κράξαντες καταβοήσωσι πρός με. ἀκοῇ ἀκούσομαι τῆς φωνῆς αὐτῶν καὶ ὀργισθήσομαι θυμῷ. καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ. καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι. καὶ τὰ τέκνα ὑμῶν ὀρφανά:—

παροιμ Εἰς κτήματα ὀρφανῶν μὴ εἰσέλθῃς. ὁ γὰρ λυτρούμενος αὐτοὺς κς, κραταιῶς κρινεῖ τὴν κρίσιν αὐτῶν μετὰ σοῦ:—

σιραχ ἂν θεὸν ἢ δικαιοσύνην ποιῇς φοβηθήσῃ· οὐ μὴ γὰρ ὑπερίδῃ ὁ θς ἀδικίαν ὀρφανοῦ καὶ χήρας:—

γίνου ὀρφανοῖς ὡς πατὴρ. καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. καὶ ἔσῃ ὡς υἱὸς ὑψίστου:—

ρξϛ περὶ οἴνου καὶ χρήσεως αὐτοῦ:—

παροιμ Ὃς ἐὰν μὴ διὰ ἐν οἴνοις διατριβαῖς, ἐν τρισὶν ἑαυτοῦ ὁ χρώμασι καταλείψει ἀτιμίαν:—

σιραχ ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς. οἶνος πινόμενος αὐτάρκης. πικρία δὲ ψυχῆς. οἶνος πινόμενος πολύς:—

ἀκόλαστον οἶνος καὶ ὑβριστικὸν μέθη· πᾶς δὲ ἄφρων τούτοις ἐμπλέκεται:—

Οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς:—

βασι μέτρον ἄριστον τῆς τοῦ οἴνου χρήσεως, ἡ χρεία τοῦ σώματος:— Οἴνου μεταληφθέντος. λῦπαι οἰχήσονται φυγαδευθεῖσαι. καθάπερ ἀπὸ ῥεύματος γνόφος:—

ἰω σκπ

ρξε

### Περὶ οἰήσεως καὶ φυσιώσεως:—

παροιμ. Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ:—
ἐκκλ. μὴ γίνου δίκαιος πολύ· μηδὲ σοφίζου
περισσά· μήποτε ἐκτραπῇς:—
ἡσαΐου Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς. καὶ ἐνώπιον αὐ-
ἀπο τῶν ἐπιστήμονες:— Εἴ τις δοκεῖ
σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τού-
τῳ, μωρὸς γενέσθω ἵνα γένηται σοφός:—
Εἴ τις δοκεῖ εἶναί τι μηδὲν ὤν. φρεναπα-
θεο τᾷ ἑαυτόν:— Τὸ οἴεσθαι. τοῦ εἶ-
ναι τὸ πλεῖστον ἀφαιρεῖται· καὶ μάλα
τοῖς ἀνοήτοις ἡ κενὴ δόξα. πρὸς ἀρετὴν ἐμπόδ:—
Ῥᾷστον ἑαυτὸν ἀπατᾶν καὶ οἴεσθαι εἶναί τι
οὐδὲν ὄντα. ὑπὸ τῆς κενῆς δόξης φυ-
σώμενον:— Σοφία καὶ τὸ γινώσκειν
ἑαυτόν, ἀλλὰ μὴ ὑπεραίρεσθαι:—
Κρεῖσσον ὄντα σοφὸν ὑφίεσθαι δι' ἐπιείκει-
αν, ἢ ἀμαθῶς ἔχοντα διὰ θράσος ὑπε-
ρεκτείνεσθαι:—
Μὴ φρόνει τῶν πολλῶν εἶναι κρείττων·
ἀλλὰ λυποῦ τῶν ἀγαθῶν ὑστερούμενος:—
Οἴησις, προκοπῆς ἐκκοπή:—

ρξϛ.

### Περὶ ὀφθαλμοῦ καὶ ὁράσεως:—

παροιμ. Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν· τὰ δὲ
βλέφαρά σου νευέτωσαν δίκαια:—
Ὁ ἐμβλέπων λεῖα ἐλεηθήσεται:— Θεωρῶν
ὀφθαλμὸς καλὰ. εὐφραίνει καρδίαν:—
σιρα. Κακὸν ὀφθαλμὸς πονηρός· ὀπίσω ἀναιδῶν
ὀφθαλμῶν φύλαξαι:—

ἰωάν Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός:—
θεο τοιοῦτοι οἱ ὀφθαλμοὶ λύχνοι καὶ τῶν αἰ-
σθητηρίων· τὸ προχειρότατον ὄργανον
καὶ ἀπληστότατον:— Περὶ ὀνόματος χρηστοῦ:— ρξζ
παροι αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς·
ἐκκλη ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν· ἀγα-
θὸν ὄνομα εἰς τὸν αἰῶνα μενεῖ:—
φρόντισον περὶ ὀνόματος· αὐτὸ γάρ σοι
παραμενεῖ, ἢ χίλιοι μεγάλοι θησαυροί:—
ὄνομα πονηρὸν, αἰσχύνην καὶ ὄνειδος
κληρονομήσει:—
ἄνθρωπος ἀχαρής, μῦθος ἄκαιρος:—

ρξη Περὶ τῶν παιδείαν θ(εο)ῦ σ(ωτή)ριον πρὸς
διόρθωσιν μὴ δεχομένων:—

ἠσα ΐου· Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν
ὡς σχοινίῳ μακρῷ· καὶ ὡς ζυγοῦ ἱμάν-
τι δαμάλεως τὰς ἀνομίας αὐτῶν:—
τῷ λαῷ τούτῳ, ἐγενήθη καρδία ἀνή-
κοος καὶ ἀπειθής· πάντες ἀνήκοοι
πορευόμενοι σκολιῶς:—
βασι Πολλῷ κρεῖττον ἀνασχέσθαι λόγου παιδευτικοῦ,
ἢ δυσανασχετοῦντας, συντρίψειν τὸν ζυ-
γὸν τοῦ ἐπὶ σ(ωτη)ρίᾳ παίοντος:—
θεο μὴ γενώμεθα δοῦλοι κακοὶ· ἀγαθυνόμενοι
μὲν ἐξομολογούμενοι τῷ δεσπότῃ· παι-
δευόμενοι δὲ μὴ προστιθέμενοι:—
☧ Εὑρίσκομεν πολλάκις τὸν τῶν ὅλων θ(εὸ)ν· διὰ
ὑπερβάλλουσαν πονηρίαν καὶ τὸ τῶν κακῶν φρο-

νων ἀπαιδεύτων· τὰς ἡνίας ἀφιέντα καὶ
φέρεσθαι τὸ τῶν ἀλόγων ὅσα ἂν ἐθελήσῃ συγ-
χωροῦντα τὸ γένος. καὶ τοῦτο αὐτὸς ἡμᾶς
διὰ τοῦ προφήτου διδάσκων πρὸς τὸν Ἰηλ
ἔλεγεν· οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀποθνῆ-
σκον, ἀποθνησκέτω· καὶ τὸ ἐκλεῖπον ἐκ-
λιπέτω· καὶ τὰ καταλοιπα κατεσθιέτω
ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ:—

ρξθ Περὶ παρρησίας· καὶ πῶς δυνατὸν
εὐπαρρησίαστον τινὰ γενέσθαι:—

Ἰὼβ Καθαρὸς χερσὶν, ἀναλάβοι θάρσος:—
Παροι Ἐξουσίαν δίδωσι λόγοις, ἀρχὴ δικαιοσύνης:—
ἀπ Δεῖ τὸν ἐπίσκοπον ἀνεπίλημπτον εἶναι·
ἵνα καὶ δυνατὸς ᾖ παρακαλεῖν ἐν τῇ
ὑγιαινούσῃ διδασκαλίᾳ. καὶ τοὺς ἀντι-
ἀπ Ἰω λέγοντας ἐλέγχειν:— Ἐὰν ἡ καρδία
ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν
ἔχομεν πρὸς τὸν θ̅ν̅· καὶ ὃ ἐὰν αἰτῶμεν
λαμβάνομεν· ὅτι τὰς ἐντολὰς αὐτοῦ
τηροῦμεν. καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐ-
τοῦ ποιοῦμεν:—

ρο Περὶ προσφορῶν εὐαγῶν καὶ εὐπρος-
δέκτων· καὶ ἐναγῶν ϗ ἀπροσδέκτ(ων):—

Δευτερονο· Οὐ προσοίσεις μίσθωμα πόρνης, εἰς οἶκον
Κ̅υ̅ τοῦ Θ̅υ̅ σου· οὔτε ἄλλαγμα κυνός· ὅτι
βδέλυγμα Κ̅ῳ̅ τῷ Θ̅ῳ̅ σου ϗ ἀμφότερα.
Ἡσαΐου Προσφορὰ δικαίου, λιπαίνει θυσιαστήριον·
καὶ ἡ εὐωδία αὐτῆς, ἔναντι ὑψίστου:—

Θυσία δικαίου δεκτή· καὶ τὸ μνημόσυνον αὐ-
τῆς οὐκ ἐπιλησθήσεται:— Οὐκ εὐδοκεῖ
ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν:—
Θυσίαι ἀσεβῶν, βδέλυγμα κῶ:— Θύων
ἔναντι πρὸ αὐτοῦ υἱόν, ὁ προσάγων θυσί-
αν ἐκ χρημάτων πενήτων:—
Θυσιάζων ἐξ ἀδίκων, προσφορὰ μεμωμημένη.
Καὶ οὐκ εἰς εὐδοκίαν δωρήματα ἀνόμων:—
ἡσ̂ι Οὐ χαίρει ὁ θς̄ ἐπὶ θυσίαις ταῖς ἐξ ἀδικίας.
Καὶ οὐ προσίεται κίβδηλα δῶρα:—
Οὐ χρήζει ὁ θς̄ ἐξ ἀλλοτρίων θυσίας· ἀλλὰ
ταύτην ὡς θυόμενον κινναμῶσαν τίθεται:—
ροα περὶ πείρας πρὸς θν̄· καὶ ὅτι οὐ δεῖ
πειράζειν τὸν θν̄:—
Δευτε Οὐκ ἐκπειράσεις κν̄ τὸν θεόν σου:—
ρωμο· Δαδ Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε.
μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν
ὡς ἐν τῷ παραπικρασμῷ. κατὰ τὴν
ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ
ἐπείρασάν με οἱ πατέρες ὑμῶν:—
ἀπο μὴ ἐκπειράζωμεν τὸν κν̄ καθώς τινες
αὐτὸν ἐπείρασαν. ϗ ὑπὸ τῶν ὄφεων ἀπώ-
λοντο:— περὶ παραχωρητικῶν δ(ὲ)
ροβ ἐνεικτῶν· ὅτι εἰρηνικὸν καὶ
ψυχωφελὲς τοῦτο:—
γεν Εἶπεν ἀβραὰμ τῷ λώτ. μὴ ἔστω μάχη
ἀν' ἀμέσον ἐμοῦ ϗ ἀνὰ μέσον τῶν ποιμένων
μου. ϗ ἀνὰ μέσον τῶν ποιμένων σου· ὅτι

ἀδελφοί ἐσμεν ἡμεῖς· ἰδοὺ πᾶσα ἡ γῆ
ἐνώπιόν σού ἐστι· διαχωρίσθητι ἀπ' ἐμοῦ·
εἰ σὺ εἰς ἀριστερά, κἀγὼ εἰς δεξιά· εἰ
σὺ εἰς δεξιά, κἀγὼ εἰς ἀριστερά· καὶ ἐξε
λέξατο ἑαυτῷ λὼτ, πᾶσαν τὴν περίχω
ρον τοῦ ἰορδάνου· καὶ διεχωρίσθησαν
ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ :—

σχο μανθάνομεν ἐκ τῶν ἱερῶν λογίων ὁπόσον
ἀρεστὸν τῷ θεῷ καὶ τὸ παραχωρητικὸν καὶ
εἰρηνικόν· παραχωρήσας γὰρ ἀβραὰμ
τῆς ἐκλογῆς τὴν προτίμησιν τῷ λὼτ
διὰ τὸ ἄμαχον, παραυτὰ τῶν μεγίστων
σχο ἐπιτυχὼν ἐπαγγελιῶν :— ζηλωταὶ γενώ
μεθα τῶν ἐπαινουμένων· ὅσα γὰρ προ
εγράφη, πρὸς ἡμετέραν διδασκαλίαν προ
εγράφη· καθάπερ τῷ θείῳ ἀποστόλῳ
Δαδ μεμαρτύρηται :— ὄνειδος ἄφρονι ἔδω
κάς με· ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στό
μα μου ὅτι σὺ ἐποίησας :—

εὐαγγε Εἶπεν ὁ κς· ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρ
χαίοις ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀ
δόντα ἀντὶ ὀδόντος; ἐγὼ δὲ λέγω ὑμῖν
μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε
ῥαπίσει εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐ
τῷ καὶ τὴν ἄλλην· καὶ τῷ θέλοντί σοι κρι
θῆναι ϗ τὸν χιτῶνά σου λαβεῖν, ἄφες
αὐτῷ καὶ τὸ ἱμάτιον :—

ἀπ μὴ νικῶ ὑπὸ τοῦ κακοῦ· ἀλλὰ νίκα ἐν τῷ ἀγα

θεο θύει τὸ κακόν:— συμμαχῶμεν ἀλλήλοις
πνικῶς. γενώμεθα φιλάδελφοι μᾶλ
λον ἢ φίλαυτοι:— ἐν τοῖς ἀμφιβόλοις
νεύειν χρὴ πρὸς τὸ φιλάνθρωπον:— ρογ

εὐαγ πᾶσα βασιλεία μερισθεῖσα καθ᾽ ἑαυτὴν πε ἐμφυ πολέμου
ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία
μερισθεῖσα καθ᾽ ἑαυτὴν οὐ σταθήσεται:—

ἀπ Εἰ ἀλλήλους δάκνετε καὶ κατεσθίετε,
βλέπετε μὴ ὑπ᾽ ἀλλήλων ἀναλωθῆτε:—

Ἡσαΐου Καὶ ἔσται ὁ λαὸς, ὡς ὑπὸ προσκεκαυμέ
νος· ἄνος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει·
ἀλλ᾽ ἐκκλινεῖ εἰς τὰ δεξιά· ὅτι πεινά
σει καὶ φάγεται ἐκ τῶν ἀριστερῶν· καὶ
οὐ μὴ ἐμπλησθῇ ἄνος, ἐσθίων τὰς σάρ
κας τοῦ βραχίονος αὐτοῦ· φάγεται γὰρ
μανασσῆ τὸν ἐφραΐμ· καὶ ἐφραῒμ τὸν
μανασσῆν:—

θεο τοῦ ἔξωθεν πολέμου,
πολλῷ χαλεπώτερος καὶ φοβερώτερος ἐ
στὶν ὁ ἐμφύλιος· ὅσῳ τὰς οἰκείας σάρ
κας δαπανῶν. τῶν ἀλλοτρίων μανικώτερον:—

φι Ἀληθὲς ὑπολαμβάνειν· ὅτι τὰς ὑπὸ τῶν
ἐκ τῶν θηρίων βλάβας ἐκφυλαζόμεθα,
τὰς ἐν αὐτοῖς εἰς δήμιον ἀγριότητας πρὸς
ἀλλήλους συγκινοῦμεν δέ:—

ροδ περὶ προθέσεως ἀγαθῆς καὶ προαιρέσε
ως. καὶ πολιτείας σεμνῆς:—

ἐξόδ Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς κυ τοῦ θεοῦ σου.
καὶ τὰ ἀρεστὰ ἐναντίον αὐτοῦ ποιήσῃς

ἐνωτίσῃ ταῖς ἐντολαῖς αὐτοῦ· καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ.
πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς αἰγυπτίοις. οὐκ ἐπάξω ἐπὶ σέ· ἐγὼ γάρ εἰμι κ̅ς
ἐξόδ ὁ ἰώμενός σε:– Καὶ νῦν ἰσραὴλ τί κ̅ς ὁ
θ̅ς ἀπαιτεῖ παρὰ σοῦ· ἀλλ' ἢ φοβεῖσθαι
αὐτόν· καὶ πορεύεσθαι ἐν πάσαις ταῖς
ὁδοῖς αὐτοῦ· καὶ ἀγαπᾶν αὐτὸν καὶ λατρεύειν
ἐξ ὅλης τῆς ψυχῆς σου:–

μιχαί ου ἀνηγγέλη σοι ἄν̅ε τί καλόν· ἢ τί κ̅ς ὁ θ̅ς
σου ζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν
κρίμα καὶ δικαιοσύνην· καὶ ἀγαπᾶν
ἔλεος· καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι
ἠσαΐ ου μετὰ κ̅υ θ̅υ σου:– ἐὰν θέλητε καὶ εἰσακούσητέ μου. τὰ ἀγαθὰ τῆς γῆς φά
γεσθε· ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου. μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα κ̅υ ἐλάλησε ταῦτα:–

ἀπ̊ πρ̊ φιλιππησίους· ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι· ἓν δὲ τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος· τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως:–

μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σ̅ρίαν
κατεργάζεσθε· θ̅ς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν· καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν
ὑπὲρ τῆς εὐδοκίας:–

τ̅ πράξεων Εἶπεν ὁ εὐνοῦχος
τῷ φιλίππῳ· ἰδοὺ ὕδωρ τί κωλύει με

βαπταισθῆναι. εἶπε δὲ αὐτῷ Φίλιππος· εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας σου, ἔξεστιν. ὁ δὲ εἶπεν· πιστεύω τὸν υἱὸν τοῦ θ(εο)ῦ εἶναι ἰ(ησοῦ)ν τὸν χ(ριστό)ν:—

Βασι Ἐπαινοῦμεν τοὺς κατὰ προαίρεσιν ἀγαθούς. οὐ τοὺς ὑπό τινος ἀνάγκης εἰς τοῦτο ἥκοντας. ὅπου γὰρ προαίρεσις ἔστι μὴ, τὸ κατορθούμενον οὐ:—

Ἐπαινετὰ τὰ κατὰ προαίρεσιν:— παρὰ τῷ δικαίῳ κριτῇ. καὶ ὑπὲρ μόνου τοῦ προελέσθαι τὰ δέοντα. οὐκ ἀκαταφρόνητοι εἰσὶν ἀφωρισμένοι μισθοί:—

Θεο Τὸ κάλλιστον καὶ φιλανθρωπότατον. ὅτι μὴ τῇ ἀξίᾳ τοῦ διδομένου. τῇ δὲ δυνάμει καὶ τῇ διαθέσει τοῦ καρποφοροῦντος. μετρεῖ θ(εὸ)ς τὴν ἐπίδοσιν:—

ροε ζ Περὶ πλανώντων καὶ πλανωμένων:—

Παροιμ Λόγοι κερκώπων μαλακοί. τύπτουσι δὲ εἰς ταμεῖα ἀσπλάγχνων:— Κυβερνῶσιν ἀσεβεῖς δόλους:— λόγοι ἀσεβῶν δόλιοι:—

Ἡσαΐου λαὸς ἀπειθής ἐστιν υἱοὶ ψευδεῖς. οἳ οὐκ ἐβούλοντο ἀκούειν τοῦ νόμου κ(υρίο)υ. οἱ λέγοντες τοῖς προφήταις μὴ ἀναγγέλλετε ἡμῖν. καὶ τοῖς τὰ ὁράματα ὁρῶσι μὴ λαλεῖτε. καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν. καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ αὐτῆς:—

Ἱερεμ Ἔκστασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς. οἱ προφῆται προφητεύουσιν ἄδικα. καὶ οἱ ἱερεῖς ἐπεκρότησαν

ταῖς χερσὶν αὐτῶν· καὶ ὁ λαός μου ἠ-
γάπησεν οὕτως· καὶ τί ποιήσητε
εἰς τὰ μετὰ ταῦτα:—

ἐαγ ε

Εἶπεν ὁ κ(ύριο)ς· προσέχετε ἀπὸ τῶν ψευδοπρο-
φητῶν· οἵτινες ἔρχονται πρὸς ὑ-
μᾶς ἐν ἐνδύμασι προβάτων· ἔσωθεν
δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν
καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς:—

## Περὶ πλαστολόγων:—

σιραχ ροϛ

Ἐστὶ σοφιζόμενος ἐν λόγοις μισητός·
οὗτος πάσης τροφῆς καθυστερήσει·
οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ κ(υρίο)υ χάρις·
ὅτι πάσης σοφίας ἐστερήθη:—

ἀπ(οστόλου) πρ(ὸς) τίτον

μωρὰς ζητήσεις καὶ γενεαλογίας.
καὶ ἔρεις. καὶ μάχας νομικὰς περι-
ΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιαι:—

βασι

δ ἰσιπη ω λουσι.

Οὐκ ἐν ῥήμασιν ἡ σωτηρία. ἀλλ᾽ ἐν πράγμασι:—
τὸ ψεῦδος ἐν προσώποις μαθεῖν. πλείονα
πεῖραν ἔχει παρὰ τὴν ἐν δευτέροις δια-
κειμένην ἀλήθειαν:—

## Περὶ πλαστογράφων:—

ἡσαΐου ροζ

Οὐαὶ τοῖς γράφουσι πονηρίαν· γράφον-
τες γὰρ πονηρίαν γράφουσιν· ἐκκλί-
νοντες κρίσιν πτωχῶν. καὶ ἁρπά-
ζοντες κρίματα πενήτων τοῦ λαοῦ μου·
ὥστε εἶναι αὐτοῖς χήραν εἰς ἁρπαγήν.
καὶ ὀρφανὸν εἰς προνομήν. καὶ τί ποι-
ήσουσι τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς·

ἡ περὶ ἐμπειρίας καὶ

ἡ γὰρ θέμις αὐτῶν πέρρωθεν ἥξει· ς πρὸς τίμαι καταφράζονται τοῦ κοιμηθῆναι· καὶ ποῦ καταλέγονται τὴν δόξαν αὐτῶν· τοῦ μὴ ἐμπεσεῖν εἰς ἐξαφανισμόν· καὶ μὴ ὑποκάτω ἀμνημόνων πεσεῖν:—

βασι ἴδῃ τινὰς τοὺς ἐν δημοσίοις γραμματείοις ῥαδιουργοῦντας· καὶ παραποιοῦντας χαρακτῆρας γραμμάτων ἐν κτήσεσιν ἀγρῶν καὶ διαθήκαις· οἷα τὰ ἐν ταῖς τῶν πολεμίων προνομαῖς· τοῖς ἱερατεύουσι πρὸς ἡμᾶς· ὅ ὑπομιμνήσκει ὁ λόγος· ὅτι τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς· τουτέστι· τῇ τῆς κρίσεως ἡμέρᾳ· καὶ τῆς κατ' ἀξίαν τῶν πεπλημμελημένων ἑκάστοις ἀνταποδόσεως:— π̅ε̅ πολυπειρίας καὶ πολυμαθ

ρ̃ο̅η̅ π̅ε̅ πολυπείρων καὶ πολυμαθῶν:

πάροι πηγὴ ζωῆς, ἔννοια τοῖς κεκτημένοις:— στέφανος ἐν πράγμασιν, ἀρετῆς ἀγαθῶν:—

σιράχ στέφανος γερόντων πολυπειρία:— σημεῖον σοφὸς, δόξει ἐν γνώσειν:— ἀνὴρ πεπλανημένος, ἔγνω πολλά· καὶ ὁ πολύπειρος, ἐκδιηγήσεται σύνεσιν:—

θεο ὅτις μὴ πέπονθεν· οὐδ' ἂν ἑτέροις πιστεύσειεν· ὁ δὲ παθών· εἰς συγκατάθεσιν ἑτοιμότερος· μάρτυς ὁρατὸς ἀοράτου πάθους γενόμενος· μορφῆς ἀλλοτρίας οἰκεῖον πρόσωπον:—

ροθ ϛ̈ περὶ πιστοῦ καὶ ἰσοψύχου καὶ μυστηριακοῦ ἀνου· ὅτι σπάνιον εὑρεῖν:

παροιμ. ἀνὴρ ἀξιόπιστος πολλοῦ ἀξιωθήσεται:
τοῦ πιστοῦ, ὅλος ὁ κόσμος τῶν χρημάτων· τοῦ δὲ ἀπίστου, οὐδὲ ὀβολός:
ἄνδρα πιστὸν, ἔργον εὑρεῖν:

εὐαγ. ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν· εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει:

ἀπο. ἐλπίζω ἐν κῳ Ἰησοῦ, τιμόθεον ταχέως πέμψαι ὑμῖν· ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν· οὐδένα γὰρ ἔχω ἰσόψυχον. ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ χῦ ἰῦ:

διδυμ. σπάνιον μὲν ἀληθῶς, ὡς ἅμα τῷ φρονίμῳ, τὸ πιστόν: σπάνιον μὲν ἐστὶ τὸ ἀγαθόν· τὸ δὲ κακὸν πολύχουν· διὰ τοῦτο σοφὸν μὲν πιστὸν εὑρεῖν ἐμοὶ ἔργον· φαύλων δὲ πλῆθος ἀναρίθμητον:

ρπ̃ ϛ̈ περὶ παραμονῆς καὶ παραμενόντων· ὅτι ἡ παραμονὴ ἔργον ἀνύει· καὶ χρὴ οὐ μόνον εὐνοϊκῶς, ἀλλὰ καὶ ὑπομονητικῶς διακεῖσθαι πρὸς τοὺς προλαβόντας· ς μηδένα ὡς ἔτυχεν ς ἀνεξετάστως. εἰς ὑπηρεσίαν παραμονῆς εἰσδέχεσθαι:

τῆς ἐξό(δου). ἰησοῦς ὁ τοῦ ναυῆ, οὐκ ἐξεπορεύετο ἐκ τῆς
σκηνῆς τοῦ μαρτυρίου :—

σχό(λιον) οὗτος ὁμοϊκῶς ἅμα καὶ ὑπομνηστικῶς
δουλεύσας τῷ μωϋσῆ, διάδοχος τῆς
ἐκείνου ἐθναρχίας κατέστη θείαι ψήφοι :—

βασιλειῶν Εἶπεν ἠλιοὺ πρὸς ἐλισσαιέ· αἴτη
σαι τί ποιήσω σοι. πρὸ τοῦ ἀναληφθῆ
ναί με ἀπὸ σοῦ· καὶ εἶπεν ἐλισσαιέ·
γενηθήτω δὴ τὰ διπλᾶ ἐν πν(εύματ)ί σου ἐπ᾿ ἐμέ·
καὶ εἶπεν ἠλιοῦ· ἐσκλήρυνας τοῦ αἰτή
σασθαι· ἐὰν ἴδῃς με ἀναλαμβανόμε
νον ἀπὸ σοῦ, ἔσται σοι οὕτως :—

σχ(όλιον) Καὶ οὗτος προσκαρτερήσας καὶ ὑπηρετή
σας τῷ διδασκάλῳ μέχρι τῆς μεταστά
σεως. διάδοχος τοῦ ἐν αὐτῷ προφητι
κοῦ χαρίσματος. κατὰ τὴν αἴτησιν γέγονεν :—

εὐαγγ(έλιον) Εἶπεν ὁ κ(ύριο)ς τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς
ἐστε οἱ διαμεμενηκότες μετ᾿ ἐμοῦ ἐν τοῖς
πειρασμοῖς μου· κἀγὼ διατίθημι ὑμῖν,
καθὼς διέθετό μοι ὁ π(ατ)ήρ μου βασιλείαν·
ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τρα
πέζης ἐν τῇ βασιλείᾳ μου· καὶ κα
θίσησθε ἐπὶ θρόνων. κρίνοντες
τὰς δώδεκα φυλὰς τοῦ ἰ(σρα)ήλ :—

σχ(όλιον) τοσοῦτον διαφερόντων ἡμῖν θείων τε
ἀνθρωπίνων ÷ πραγμάτων, δέον ἐπὶ προσώ ÷ παραδειγμάτων
τοῦ ῥυθμίζειν ἡμᾶς τὸν ἑαυτῶν βίον,
ὁμοϊκῶς ζῆν πρὸς τοὺς μαθητὰς συγκρο

τητας καὶ ἀμ τι μὴ ταπορας· ὁ γὰρ πρὸς
τὸν ἐργάτην μισθὸν ζημιῶν τελείαν
διάθεσιν, ἵπποι καὶ ἡμίονοι οἷς οὐ
κ ἔστι σύνεσις, ἀφομοιοῦται ἐν τῇ
σιρα̃χ ἱερᾷ γραφῇ:— ἔρανις ἐν δεξαχὸν
σου, κοιμαίνει πέραν:— πίστιν κτῆ
σαι ἐν πτωχείᾳ μετὰ τοῦ πλησίον·
ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτοῦ εὐφρανθῇς·
ἐν καιρῷ θλίψεως διάμενε αὐτῷ·
ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκλη
ρονομήσῃς:— ἔνοικισον ἀλλότριον.
καὶ διαστρέψει σε ἐν ταραχῇ· καὶ
ἀπαλλοτριώσει σε τῶν ἰδίων σου:—
εὐαγ τίς ἐξ ὑμῶν ἕξει φίλον· ἕως ὅτου δώ
λον σει αὐτῷ, ὅσων χρήζει:—
κα̃. κερὶ της τίσ ἦν· ἐν τιμῇ πολλᾷ:—

ε ρπ̃ς̃ Περὶ πίστεως καὶ εὐσεβείας εἰς θ(εό)ν:— ×

γεν. Ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ· καὶ ἐ
λογίσθη αὐτῷ εἰς δικαιοσύνην:—
ἰώβ. ἰδοὺ ἡ θεοσέβειά ἐστι δικαιοσύνη:— ÷ σοφία
παρ̃οι. αἱ ῥίζαι τῶν εὐσεβῶν, ἐν ὀχυρώμασιν:—
ὁ δίκαιος ἐκ πίστεως ζήσεται:—
ἀμμων ὁδὸς εὐσεβῶν, ἀλήθεια ἐστιν ἐτο καὶ πα
κόμ. ρεσκευασμένη:— οἱ εὐσεβεῖς συ
ν μετὰ ἐνιου λάβωσιν το· καὶ αὕτη ἡ βουλὴ μένει:—
ἱερε. εἰ ἔστι ποιῶν κρίμα καὶ ζητῶν πίστιν,
ἵλεως ἔσομαι αὐτοῖς λέγει κ(ύριο)ς:—
σιρα̃ πίστευε κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου· ὅτι

κοῦφον ἐν ὀφθαλμοῖς κυ(ρίου)· ἐξαπίνης πλουτίσαι πένητα:~

εὐαγ(γέλιον) πᾶς ὅστις ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀν(θρώπ)ων:~

ἀμὴν λέγω ὑμῖν· ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· μετάβηθι ἐντεῦθεν ἐκεῖ· καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν:~

πᾶς ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφάς· ἢ π(ατέ)ρα ἢ μ(ητέ)ρα· ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει:~

ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει· καὶ μείζονα τούτ(ων):~

μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντ(ες):~

ἀπ(όστολος) ἐν χ(ριστ)ῷ Ἰησοῦ· οὔτε περιτομὴ ἰσχύει τι, οὔτε ἀκροβυστία· ἀλλὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη:~ πίστις ἐστίν:~

χωρὶς πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ ὅτι ἐστίν, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται:~

Γύμναζε σεαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ σωματικὴ γυμνασία, πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια, πρὸς πάντα ὠφέλιμός ἐστιν:~

τοῦ θαυματουρ(γοῦ) εὐσεβείας ἐστὶ σώφρον τέλον· αὕτη γὰρ ἐστὶν ἀρχὴ καὶ τελευτὴ πασῶν τῶν ἀρετῶν:~

θεο μνημονευτέον θῦ μᾶλλον. ἢ ἀναπνευστέον:—

Κρεῖσσον ἐπαινετὸς πόλεμος. εἰρήνης χωριζούσης θῦ:—

ἐκ τοῦ βίου. Οἶδα ἐγὼ ἁμαρτωλοῖς ἀνοις. ὅτι ἐπέθηκαν χεῖρας ἐπὶ ἀρρώστοις καὶ ἰάσαντο αὐτούς. ἀλλὰ τοῦτο. κατὰ δύο τρόπους γίνεται. οὐ μόνον δι' οὗ δίδοται, ἀλλὰ καὶ πρὸς τὸν λαμβάνοντα. ἐὰν γὰρ μὴ πιστὸς ὁ λαμβάνων, οὔτε ἀπὸ δικαίου οὔτ' ἀπὸ ἁμαρτωλοῦ λαμβάνει χάριν. ὁ δὲ πιστῶν. καὶ διὰ δικαίου καὶ διὰ ἁμαρτωλοῦ λαμβάνει τὴν χάριν. ὁ γὰρ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου. μισθὸν προφήτου λήψεται. καὶ πάλιν ὁ κσ. κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. σὺ πίστευε τῷ ἐρχομένῳ πρὸς σὲ ἐν ὀνόματι κῦ μηδὲν διακρινόμενος. καὶ λήψῃ τὴν χάριν. ὁ θσ γὰρ ἐστὶν ὁ ἐνεργῶν:—

ρπε περὶ προκοπῆς πνικῆς:—

ἀπ Ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι τι. τοῖς ὄπισθεν ἐπιλανθανόμενος. τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως:—

Οὕτως τρέχω ὡς οὐκ ἀδήλως. οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ. μή

πωσ ἄλλοισ κηρύξασ. αὐτὸσ ἀδόκιμοσ γέ:—

μὴ φρόνει τῶν κακῶν φαίνεσθαι κράτ|των· μηποῦ δὲ τῶν ἀγαθῶν ἡττώμε:—

ἀρρίον· Ὁ καλῶσ φροντίζων ἑαυτοῦ, φροντί|ζεται ὑπὸ τοῦ θυ:—

—×— ρπγ

περὶ προσκαίρων καὶ αἰωνίων· καὶ ὅτι χρὴ τῶν παρόντων, τὰ μέλλοντα προτιμᾶν:—

δαδ Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυ, ἐν τῇ ζών:—

Ἐπὶ κεφαλῆσ αὐτῶν, αἴνεσισ καὶ ἀγαλλίασισ καὶ εὐφροσύνη:—

ἠσα Εἰσέλθετε διὰ τῆσ στενῆσ πύλησ· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωροσ ἡ ὁδὸσ ἡ ἀπάγουσα εἰσ τὴν ἀπώλειαν· καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆσ:—

τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸσ ἡ ἀπάγουσα εἰσ τὴν ζωήν· καὶ ὀλίγοι εἰσὶν οἱ ÷ εἰσερχόμενοι δι' αὐτῆσ:—

÷ εὑρίσκοντ αὐτήν· ἀπ

Ὁ καιρὸσ συνεσταλμένοσ ἐστί· τὸ λοιπὸν ἀδελφοί, οἱ ἔχοντεσ γυναῖκασ, ὡσ μὴ ἔχοντεσ· καὶ οἱ χαίροντεσ ὡσ μὴ χαίροντεσ· καὶ οἱ χρώμενοι τῶι κόσμωι τούτωι, ὡσ μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου:—

Εἰ ἐν τῇ ζωῆι ταύτηι ἠλπικότεσ ἐσμὲν μόνον, ἐλεεινότεροι πάντων ἐσμέν:—

Οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν· ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν:—

Βασι δύο εἰσὶν ὁδοὶ ἐναντίαι ἀλλήλαισ· ἡ μὲν

πλατεῖα καὶ εὐρύχωρος· ἡ δὲ στενὴ καὶ
τεθλιμμένη· καὶ δύο ὁδηγοί· ἑκάτε
ρος πρὸς ἑαυτὸν ἐπιστρέφειν ἐπιχει
ρῶν· ἔχει μὲν ἡ πλατεῖα καὶ εὐρύχωρος,
ὁδηγὸν ἀπατηλόν· δαίμονα πονηρόν,
δι' ἡδονῆς πρὸς τὴν ἀπώλειαν τοὺς
ἑπομένους ἐπισπώμενον· ἡ δὲ τρα
χεῖα καὶ ἀνάντης, ἄγγελον ἀγαθόν· διὰ
τῶν ἐπιπόνων τῆς ἀρετῆς πρὸς τὸ
μακάριον τέλος τοὺς ἑπομένους ἄγοντα:~

μὴ προτιμᾶτε τῶν πολυτιμήτων τὰ
ἀτιμότατα· μὴ δὲ κακοὶ συναλλά
κται γίνεσθε. τὴν φθειρομένην ζω
ὴν τῆς ἀφθάρτου καὶ μακαρίας
ζωῆς προτιμῶντες:~ τέθεικα
πρὸ προσώπου σου, τὴν ζωὴν καὶ τὸν θά
νατον· τὸ ἀγαθὸν καὶ τὸ κακόν· ὃ θέλεις,
ἔκλεξαι:~ πολὺν ἐζήσαμεν
χρόνον τῷ κόσμῳ· ζήσωμεν λοιπὸν
καὶ ἑαυτοῖς· τί ψυχῆς ἀντάξιον· τί
ἰσοστάθμιον τῆς βασιλείας τοῦ θεοῦ·
τίς φρονιμώτερος τοῦ σοφοῦ· τίς ὠ
φελιμώτερος τοῦ ἀγαθοῦ· τίς τοῦ
κτίσαντος οἰκειότερος· μὴ φυγὼν
τὸ στενὸν τῆς ἐπὶ σωτηρίαν ἀγούσης, τὸ εὐρύ
χωρον διώξῃς τῆς ἁμαρτίας· φοβοῦ
μαι γὰρ μὴ ἄχρι τέλους τὴν πλατεῖ
αν ὁδεύσας, ἀκόλουθον ἄρῃς τῆς ὁδοῦ τὸ
κατάλυμα:~

πρόσεχε σεαυτῷ· μήτε τοῖς θνητοῖς ὡς ἀϊδίοις ἐναπομείνῃς, μήτε τῶν ἀϊδίων ὡς παρερχομένων καταφρονήσῃς:— ὑπερόρα σαρκός· παρέρχεται γάρ· ἐπιμελοῦ ψυχῆς πράγματος ἀθανάτου:—

νύσσης τὸ περὶ τὰ φαινόμενα τὴν σπουδὴν ἔχειν, ἴδιόν ἐστι τῶν μηδὲ μίαν τοῦ μέλλοντος αἰῶνος ἔχου τοῖς ὑποτιθεμένοις ἐλπίδα:—

Οἱ πόνοι, πανταχοῦ τῶν ἀγαθῶν χορηγοί:—

ρπϛ περὶ προνοίας· ὅτι κήδεται καὶ
προνοεῖ ἡμῶν ὁ θεός:—

ἠσαΐου Εἶπε Σιών· ἐγκατέλιπέ με κύριος, καὶ ὁ θεὸς ἐπελάθετό μου· μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει κύριος:—

ἰεζεκιὴλ Τάδε λέγει κύριος· τὸ ἀπολωλὸς ζητήσω· καὶ τὸ πλανώμενον ἐπιστρέψω· καὶ τὸ συντετριμμένον καταδήσω· καὶ τὸ ἐκλεῖπον ἐνισχύσω· καὶ τὸ ἰσχυρὸν φυλάξω. καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος:—

σολομ μικρὸν καὶ μέγαν ὁ θεὸς ἐποίησεν· ὁμοίως δὲ προνοεῖ περὶ πάντων:—

βασι Πᾶν ὅπερ εἰς ἡμᾶς ἐκ θείας δυνάμεως ἀγαθὸν φθάνει· τῆς πάντα ἐν πᾶσιν ἐνεργούσης

χάριτος ἐνέργειαν εἶναι φαμέν:

Εἰρηναίου Διὸ καὶ πρεπῶδες ὡς ἀληθῶς τῷ θεῷ, τὸ ἱλάσκεσθαι· τὸ ἐλεεῖν. τὸ τὰ ἔργα σώζειν ἑαυτοὺς κἂν εἰς κίνδυνον διαφθορᾶς ὑφ' ἑαυτῶν καταφέρονται· παρ' αὐτῷ γάρ φησιν, ὁ ἱλασμός ἐστιν:

Διαδόχου Πάντων νογικῶν ἐστι ἀάμενος τὸ κρυπτῶν ὁ δημιουργός. προνοεῖται τῶν ὅλων· οὐ μόνον ἐξ ὧν διάκεινται καὶ πράττουσιν· ἀλλὰ καὶ ἐξ ὧν προγινώσκει ἂν τὴν βελτίωσιν:

ἀγαθότητι τῇ ἰδικῇ ἑαυτοῦ πάντα ὁ θεός, προνοεῖται τῶν ὅλων· οὐκ εἰς τὸ κατ' ἀξίαν τῶν προνοουμένων ἀφορῶν, ἀλλ' εἰς τὸ ἑαυτοῦ ἐλεητικὸν καὶ τῶν ἀγαθῶν παρεκτικόν:

* Οὐκ οἶδας σὺ τὰ συμφέροντα ἄνθρωπε· πολλάκις αἰτεῖς ἐπικαιρικὰ καὶ φθαρτά. ἀλλ' ἐκεῖνος ὁ μᾶλλον κηδόμενος σου τῆς σωτηρίας. οὐ τῇ αἰτήσει σου προσέχει· ἀλλὰ πρὸ τῆς αἰτήσεως. τὸ συμφέρον σοι πανταχοῦ ἐπισκοπεῖ· εἰ γὰρ οἱ πατέρες οἱ σαρκικοὶ· οὐ πάντα τὰ αἰτοῦσι τοῖς παισὶ διδόασιν· οὐκ ἐπειδὴ καταφρονοῦσι τῶν αἰτούντων· ἀλλ' ἐπειδὴ αὐτῶν μᾶλλον κήδονται, πολλῷ μᾶλλον ὁ θεὸς ὁ καὶ μᾶλλον φιλῶν καὶ πλέον ἁπάντων εἰδὼς τὸ συμφέρον ἡμῖν ποιεῖ:

ρπε̄ περὶ προσπαθείας καὶ μερίμνης·
καὶ ὅτι χρὴ ἀπροσπαθῶς
διακεῖσθαι περὶ τὰ πράγματα:

τῶν ᾀσμάτ(ων) γὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ:

σιράχ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα:

ματθ(αίου) μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγη
τε· ἢ τί πίητε· μηδὲ τῷ σώματι ὑ
μῶν τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ
πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶ
μα τοῦ ἐνδύματος; ἐμβλέψατε εἰς
τὰ πετεινὰ τοῦ οὐρανοῦ· ὅτι οὐ σπεί
ρουσιν οὐδὲ θερίζουσιν· οὐδὲ συ
νάγουσιν εἰς ἀποθήκας· καὶ ὁ πατὴρ
ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά:

θεο ἰὸς τοῖς ἀνδρὶ μέριμνα:

νει τελείας ψυχῆς ἐστὶ τὸ ἀμέριμνον
εἶναι· ἀσθενοῦς δὲ τὸ φροντίσι κα
τατρίβεσθαι· περὶ μὲν γὰρ τῆς
τελείας ψυχῆς εἴρηται· ὅτι κρίνον
ἐστὶν ἐν μέσῳ ἀκανθῶν· τοῦτο δὲ
τὴν ἀφροντιν δηλοῖ· περὶ δὲ τῶν
φροντίδων πολλῶν ἐχόντων εἰς
τὰ βιωτικά φησιν· πᾶς ὅμοιος
ἀσθενοῖς ἐν φροντίδι:

κλημ ἀπροσπαθῶς χρὴ διοικεῖν
τὴν κτῆσιν· καὶ ἐπὶ ζημιουμένον
τος τινός, μὴ ἀγανακτεῖν:

ρπϛ Περὶ γνώσεως θ(εο)ῦ· καὶ ὅτι τὰ κρύφια
καὶ ἄδηλα τῶν πραγμάτων,
τῷ θ(ε)ῷ χρὴ καταλιμπάνειν:—

Δευτε τὰ κρυπτὰ τῷ θ(ε)ῷ ἡμῶν· τὰ δὲ φα
νερὰ, ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν
εἰς τὸν αἰῶνα ποιεῖν πάντα τὰ ῥή
ματα τοῦ νόμου τούτου:—

βασιλ α' θ(εὸ)ς γνώσεων κ(ύριο)ς:—

Ἰεζεκιλ. τὰ διαβούλια τοῦ πν(εύματο)ς ὑμῶν, ἐγὼ ἐ
πίσταμαι:—

Ἱερε πρὸ τοῦ με πλάσαι
σε ἐκ κοιλίας μ(ητ)ρ(ὸ)ς σου ἐπίσταμαί σε.
καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡ
γίακά σε· προφήτην εἰς ἔθνη τέ
θεικά σε:—

ρπζ Περὶ παρθενίας καὶ σωφροσύνης.
καὶ γάμου σεμνοῦ:—

παροι παρὰ κυρίου, ἁρμόζεται γυνὴ ἀνδρί:
συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ
νεότητός σου· ἔλαφος φιλίας καὶ
πῶλος σῶν χαρίτων ὁμιλείτω σοι·
ἡ δὲ, ἰδεία ἡγείσθω σοι ἐν παντὶ
καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ
συμπεριφερόμενος, πολλοστὸς ἔσῃ:

σοφία σολο μακαρία στεῖρα ἀμίαντος, ἥτις οὐ
κ ἔγνω κοίτην ἐν παραπτώματι·
ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν:
κρεῖσσον παρθενία μετὰ ἀρετῆς· ἀ
θανασίας γάρ ἐστιν ἡ μνήμη αὐτῆς:—

ἀπο Καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί· ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή· μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ εὐχῇ· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἦτε· ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν:—

Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν· ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς ὁ Χριστὸς τὴν ἐκκλησίαν:—

Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος:—

Βασι Μία ἀρετὴ ἀνδρὸς καὶ γυναικός· ἐπειδὴ καὶ ἡ κτίσις ὁμότιμος· ὥστε καὶ μισθὸς ὁ αὐτὸς ἀμφοτέροις:—

Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν, κἂν ὑπερόριοι ἀλλήλοις πρὸς κοινωνίαν γάμου συνήλθετε· ὁ τῆς φύσεως δεσμός· ὁ τῆς εὐλογίας ζυγός, ἕνωσις ἔστω τῶν διεστώτων:—

Ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναῖκα, κἂν μὴ τῷ ἔργῳ τὴν μοιχείαν ἐπετέλεσεν,

ἀλλὰ τῷ παραδέξασθαι. οὐκ ἀφεῖται
Νύσσης τοῦ ἐγκλήματος :— μακάριοι οἱ μὴ
ὀξύρροποι πρὸς τὰς ἐμπαθεῖς κινή-
σεις τῆς ψυχῆς. ἀλλὰ καταστελλόμενοι
τῷ λογισμῷ :— τὸ μισούμενον, ἀη-
Θεοτί μου δὲς ταχύ. τὸ δὲ ἀγαπώμενον. οὐκ ἔχει κόρον.
ἀλλ' ἀεὶ χάριτι καὶ πόθοις θάλλει :—
Κλη Παρθένων φθορὰ μεγίστη οὐ μόνον παρ-
μεία, ἀλλὰ καὶ ἡ πρὸ καιροῦ ἔκδοσις.
ὁ γὰρ ὡς εἰπεῖν, ἄωρος ἐκδοθῇ τῷ
ἀνδρί. ἢ τοι ἀφ' ἑαυτῆς. ἢ καὶ παρὰ τῶν
Διδύ μου γονέων :— ἐκ μελέτης πολλῶν καὶ
ἀσκήσεως. ἡ μανία καὶ ἡ ἀγριότης τῶν πα-
θῶν ἀσθενεῖ :— ὁ τῶν παθῶν ἡνί-
οχος, οὐχ ἅπαξ καθυποτάξας ἐστί· ἀεὶ
γὰρ ὁ πόλεμος οὗτος ἵσταται. ἐφ' ὅσον ὁ
ἄνθρωπος ἐστὶν ἐν ζωῇ αὐτοῦ :—

ρπη Περὶ πορνείας καὶ μοιχείας καὶ
ἀρσενοκοιτίας :—

Λευϊτι κοῦ ἄνθρωπος ὃς ἐὰν μοιχεύσηται γυναῖκα ἀνδρός.
θανάτῳ θανατούσθω καὶ ὁ μοιχεύων
καὶ ἡ μοιχευομένη :—
ἄνθρωπος ὃς ἐὰν κοιμηθῇ μετὰ ἄρσενος κοίτην
γυναικός. βδέλυγμα ἐποίησαν· ἀμφό-
τεροι θανάτῳ θανατούσθωσαν :—
[illegible] Οὐκ εἰσελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν θεοῦ :—
[illegible] θυμὸς ὀργῆς ἀκατάσχετος. τὸ μεσαῦ αἱ ἀνδρός.
πῦρ γὰρ ἐστὶ καιόμενον ἐκ πάντων τῶν μελῶν· οὐ

δίαν εἰσέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν:—

Ὁ μοιχὸς δι' ἔνδειαν φρενῶν, ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται· ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει· τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα:—

μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· μὴ δὲ συνέχου ἀγκάλαις ταῖς μὴ ἰδίαις:—

Ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον, οὐκ ἀθωωθήσεται:— ἀπὸ ὕδατος ἀλλοτρίου ἀπόσχου· καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς· ἵνα πολὺν ζήσῃς χρόνον· προστεθῇ δέ σοι ἔτη ζωῆς:—

ἱερε — ἵπποι θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν· μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι λέγει κ̅ς̅; ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ποιήσαι σε κ̅ς̅ ὡς σεδεκίαν ϛ ὡς ἀχαάβ. ὃν ἀπετηγάνισε βασιλεὺς βαβυλῶνος ἐν πυρί· δι' ἣν ἐποίησαν ἀνομίαν ἐν ἰη̅λ̅· ὅτι ἐμοιχῶντο τὰς θυγατέρας τῶν πολιτῶν αὐτῶν:—

σοφίας σολο — Τέκνα μοιχῶν, ἀτέλεστα ἔσται· καὶ ἐκ παρανόμου κοίτης σπέρμα, ἀφανισθήσεται:— ἐξ ἀνόμων ὕπνων τέκνα γεννώμενα, μάρτυρές εἰσι πονηρίας κατὰ γονέων ἐν ἐξετασμῷ αὐτ:—

ἀν̅ῳ̅ πόρνῳ, πᾶς ἄρτος ἡδύς· οὐ μὴ κο

πάσῃ, ἕως ἂν τελευτήσῃ:— Ἠκούσα-

εὐαγγ τε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις οὐ μοι-
χεύσεις; ἐγὼ δὲ λέγω ὑμῖν ὅτι:—

ἀπο φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτη-
μα ὃ ἐὰν ποιήσῃ ἄνος, ἐκτὸς τοῦ σώμ:—

μὴ πορνεύωμεν καθώς τινες αὐτῶν ἐ-
πόρνευσαν. καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ
εἰκοσιτρεῖς χιλιάδες:—

Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς
γῆς· πορνείαν· ἀκαθαρσίαν· πάθο:—

Πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ θς:—

Βασι Οἱ δὲ τινας ἐν νεότητι πρὸς τὰ τῆς
σαρκὸς πάθη κατολισθήσαντες.
καὶ μέχρι πολιᾶς αὐτῆς διὰ συνήθει-
αν τοῦ κακοῦ τοῖς ἁμαρτίαις πα-
ραμείναντες· καὶ ὥσπερ οἱ ἐν βορ-
βόροις κυλιόμενοι χοῖροι ἀεὶ προσ-
πλάττουσιν ἑαυτοῖς τὸν πηλόν, οὕ-
τως οὗτοι τὸ ἐκ τῆς ἡδονῆς αἶσχος.
καθεκάστην ἡμέραν προσαναμάττουσιν:—

Ἡδονή ἐστι, τὸ μέγα τοῦ κακοῦ δέλεαρ.
δι᾽ ἧς, εὐέμπτωτοι μάλιστα πρὸς ἁμαρ-
τίαν ἐσμέν· ὑφ᾽ ἧς πᾶσα ψυχή, ὥσπερ ὑ-
π᾽ ἀγκίστρου πρὸς τὸν θάνατον ἕλκεται.
ὥστε ὅτε μὴ ἐκθηλυνόμενος ὑπ᾽ αὐτῆς
διὰ τῆς ἐγκρατείας, πᾶσαν φυγὼν
ἁμαρτημάτων κατόρθωσιν:—

Θεο μίσθωμα τοῦ πόρνης, ἁγνὸς οὐ μερίζεται:—

ΝΥϹΗϹ πάσης οὔσης κακίας οἷον τι δέλεαρ
ἡ ἡδονὴ προϋφαπλωθεῖσα, ὁλκόλως τὰς
μαλακωτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς
ἀπωλείας ἐφέλκεται :~

Πόθεν μοιχεία· κάλλος γυναικός· μᾶλλον δὲ
οὐχὶ κάλλος, ἀλλ' ἀκόλαστος ὄψις· μὴ
γὰρ δὴ τὰ πράγματα διαβάλλωμεν μό-
νον. ἀλλ' ἡμᾶς καὶ τὴν ἡμετέραν ῥαθυμίαν·
μὴ δὲ λέγωμεν μὴ ἔστωσαν γυναῖκες.
ἀλλὰ μὴ ἔστωσαν μοιχοί· μὴ ἔστωσαν πόρνοι :~

Οὐδὲν οὕτω δὲ ἐχθρὸν ἐμπαθοῦς ψυχῆς :~

Κυνὶ ἔοικεν ἡ ἡδονὴ ἀεί· ἐὰν διώξῃς,
φεύγει· ἐὰν θρέψῃς, παραμένει· φεῦγε
τὴν πορνείαν διὰ τὴν ἀτιμίαν· μὴ τοῖς σοῖς
μέλεσι, κατὰ σοῦ ὕβρει χρήσῃ [illegible] :~

ΚΛΗΜΕΝΤ Μητρόπολις κακῶν ἡ ἡδονή :~ Πορνεί-
ας ἤδη τρεῖς τὰς ἀνωτάτω διαφο-
ρὰς παρεστήσαμεν κατὰ τὸν ἀπόστολον·
φιληδονίαν· φιλαργυρίαν· εἰδωλολατρείαν :~

Χορηγία πονηρὰ τοῖς πάθεσιν ἡμῶν, ἡ τῶν
θηλειῶν εἰδέα καὶ συχνὴ συντυχία :~

Ἀκόλουθος τῇ πορνείᾳ ὑπουργὸς ἡ
μέθη. ὁ μὴ περιφράττων τὰ ἔσοπτρα πρό-
σωπα. ἀλλ' ἰδίως καθορῶν ταῦτα :~

## Περὶ πείρας καὶ ἀπειρίας :~

ρπθ

ΙΩΒ Ἐν πολλῷ χρόνῳ σοφία· ἐν δὲ μα-
κρῷ βίῳ ἐπιστήμη :~ Οὐχ οἱ πολυχρό-
νιοί εἰσι σοφοί· οὐδὲ οἱ γέροντες οἴδασι κρίσιν :~

σοφίας σολο(μῶντος) Εἰ πολυπειρίαν ποθεῖ τις, οἶδεν τὰ
ἀρχαῖα ϛ τὰ μέλλοντα εἰκάζειν :–
σιρά(χ) ἐν μεγάλοις καὶ μικροῖς, μὴ ἀγνόει :–
στέφανος γερόντων. πολυπειρία :–
πολύπειρος, ἐκδιηγήσεται σύνεσιν :–
ὃς οὐκ ἐπειράσθη. ὀλίγα οἶδεν :–
ἀνὴρ ξενιτεύσας. ἔγνω πολλά :–
βασι(λείου) αἴσθησις, πάντως λόγου ἐνεργεστέρα
πρὸς πεῖραν :– ὃ μή τις πέπονθεν,
οὐδ᾽ ἂν ἑτέροις πιστεύσειεν· ὁ δὲ παθὼν.
εἰς συγκατάθεσιν ἑτοιμότερος :–
πεῖρα, μήτηρ συνέσεως :– Ἑκάστοις
☧ ἡ πεῖρα. διδάσκαλος ἀσφαλείας γίνεται :–
κλή(μεντος) πᾶσα τοῦ ἐπιστήμονος ϛ ἐμπείρου πρᾶ-
ξις, εὐπραγία· ἡ δὲ τοῦ ἀνεπιστήμονος.
κακοπραγία :–
ἰωσήπ(ου) Ἡ καθ᾽ ἡμέραν τριβή. κατὰ μικρὸν ἔθρε-
ψεν ἐμπειρίαν :–

ρϛ΄ π(ερὶ) πρᾳότητος καὶ εὐλαβείας :–

δαδ ς Ὁδηγήσει πραεῖς ἐν κρίσει. διδάξει πραεῖς
ὁδοὺς αὐτοῦ :– ἀναλαμβάνων
πραεῖς ὁ κ(ύριο)ς· ταπεινῶν δὲ ἁμαρτωλούς :–
ὑψώσει πραεῖς ἐν σωτηρίᾳ :–
παροι(μιῶν) πραΰθυμος ἀνήρ, καρδίας ἰατρός :–
μακάριος ἀνήρ, ὃς καταπτήσσει πάντα
δι᾽ εὐλάβειαν· ὁ δὲ σκληρὸς τὴν καρδίαν,
σιρά(χ) ἐμπεσεῖται κακοῖς :– ῥίζας ἐθνῶν
καθεῖλεν ὁ κ(ύριο)ς· καὶ ἐφύτευσε πραεῖς ἀντ᾽ αὐτῶν :–

λαω — μακάριοι οἱ πραεῖς:— μηδείς σου
ἀπο — περιφρονείτω· ὑπομίμνησκε αὐτοὺς
ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσε-
σθαι· πειθαρχεῖν· πρὸς πᾶν ἔργον
ἀγαθὸν ἑτοίμους εἶναι· μηδένα βλα-
σφημεῖν· ἀμάχους εἶναι· ἐπιεικεῖς·
πᾶσαν ἐνδεικνυμένους πραότητα
ἰγνα — πρὸς πάντας ἀνθρώπους:—
Χρήζω πραότητος· ἐν ᾗ καταλύεται
ὁ ἄρχων τοῦ αἰῶνος τούτου διάβολος:—
ἀρρίου — πομαι γόρομ τῶν. πραότης· ζωὴ δὲ ἐν
τῶν γνώσεως ἀληθείας:— οὐδεμία
τῶν ἀρετῶν οὕτως πέφυκε τίκτειν
σοφίαν. ὡς πραότης:—

ρϙα ς — περὶ προπετοῦς καὶ ἀναιδοῦς·
καὶ ὀργίλου· καὶ θυμώδους· καὶ
ὀξυχόλου:—

σιράχ — θυμοὶ κατέστρεψαν ἀδυνάτους οἱ ἁμαρ-
τωλοί· μῆνιν καὶ δυνάστην ἀπολλύει ἡ ὀργή:—
Δαδ — παῦσαι ἀπὸ ὀργῆς. καὶ ἐγκατάλιπε θυμόν:—
θυμὸς αὐτοῖς. κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως:—
παροιμ — ἀνὴρ θυμώδης. οὐκ εὐσχημονεῖ:— ὀργὴ
ἀπόλλυσι καὶ φρονίμους:— ἀνὴρ θυμώ-
δης, παρασκευάζει μάχας:—
Ὀξύθυμος. πράσσει μετὰ ἀβουλίας:—
Βαρὺ λίθος. καὶ δυσβάστακτον ἄμμος· ὀργὴ
δὲ ἄφρονος. βαρυτέρα ἀμφοτέρων:
μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει. φίλῳ δὲ ὀργί

λωι μὴ συναυλίζου· μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχον τῆι σῆι ψυχῆι:— χείλη ἄφρονος ἄγουσιν αὐτὸν εἰς κακά· τὸ δὲ στόμα αὐτοῦ τὸ θρασύ, θάνατον ἐπικαλεῖται:—

ἄνεμος βορρᾶς, ἐξεγείρει νέφη· πρόσωπον δὲ ἀναιδές, γλῶσσαν ἐρεθίζει:—

ὁ σκληρὸς τὴν καρδίαν, ἐμπεσεῖται κακοῖς:—

ἐκκλη μὴ σπεύσῃς ἐν πνί σου θυμοῦσθαι· ὅτι θυμὸς ἐν κόλποις ἀφρόνων ἀναπαύεται:—

σιρα καλὸν ἐλέγξαι, ἢ θυμοῦσθαι:— ζῆλος καὶ θυμός, ἐλαττοῦσιν ἡμέρας:— κε παντοκράτορ ὁ θς τῆς σρίας μου, ψυχῆι ἀνδρὸς ἀναιδοῦς μὴ παραδῷς με:—

ἐαγγ πᾶς ὁ ὀργιζόμενος τῶι ἀδελφῶι αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῆι κρίσει:—

ἀπ ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῶι παροργισμῶι ὑμῶν, μηδὲ δίδοτε τόπον τῶι διαβόλωι· πᾶσα πικρία καὶ ὀργὴ καὶ βλασφημία, ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ:—

βασι οὐαὶ οἱ μεθύοντες οὐκ ἀπὸ οἴνου· θυμός, μέθη ἐστὶ τῆς ψυχῆς· ἔκφρονα αὐτὴν ποιῶν ὡς ὁ οἶνος: λύπη, μέθη ἐστὶ καὶ αὐτή, καταβαπτίζουσα τὴν διάνοιαν:—

ἐμμόνως μὲν τὸν ὀργιζόμενον, ὅπως μεθύει τῶι πάθει· οὐκ ἔστιν αὐτὸς ἑαυτοῦ κς.

ἀγνοεῖ ἑαυτόν· ἀγνοεῖ τοὺς παρόντας· ὥσπερ ἐν νυκτομαχίᾳ πάντων ἅπτεται· πᾶσι προσπταίει· ἀπαίδευτα φθέγγεται· δυσκάθεκτός ἐστι· λοιδορεῖται· τύπτει· ἀπειλεῖ· διόμνυται· βοᾷ, διαρρήγνυται:—

Ἐπειδὰν ἅπαξ παρωσάμενον τοὺς λογισμοὺς τὸ πάθος τῆς ὀργῆς· τὴν δυναστείαν τῆς ψυχῆς παραλάβῃ. ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον· καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ. οὐκέτι ἔχοντα τὴν ἐκ τοῦ λόγου βοήθειαν· Ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ὁ ἰός, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμὸς γίνεται· λυττῶσιν ὥσπερ οἱ κύνες· ἄττουσιν ὥσπερ οἱ σκορπίοι· δάκνουσιν ὥσπερ οἱ ὄφεις:— Ἐν ἁμίλλαις πονηρίας, ἀθλιώτερος ὁ νικήσας· διότι ἀπέρχεται τὸ πλεῖον ἔχων τῆς ἁμαρτίας· μὴ τοίνυν γίνου κακοῦ πληρωτὴς ἐράνου· μηδὲ πονηροῦ δανείου πονηρότερος ἐκτίτης· ὕβρισεν; ὀργίσθη; στῆσον τῇ σιωπῇ τὸ κακόν:—

Οὐδὲ ἡ ἐν ταῖς ἐρήμοις ἠχὼ οὕτως ἀκεραίως πρὸς τὸν φθεγξάμενον ἀνακλᾶται, ὡς ἐπὶ τὸν λοίδορον αἱ ὕβρεις ἐπαναστρέφουσι· μᾶλλον δὲ ὁ μὲν ἦχος, ὁ αὐτὸς ἀποδόθη· ἡ δὲ λοιδορία. μετὰ προσθήκης ἐπάνησιν:—

Ἐκεῖ τὸν θυμὸν μετάγε, ἐπὶ τὸν ἀνθρωποκτό

μον· τὸν τοῦ πάθους πρᾶ· τὸν ἐργάτην
τῆς ἁμαρτίας· τῷ δὲ ἀδελφῷ καὶ
συμπάθησον· ὅτι ἐὰν ἐπιμείνῃ τῇ ἁ-
μαρτίᾳ, μετὰ τοῦ διαβόλου δοθήσεται ÷ παρα
τῷ αἰωνίῳ πυρί:—

Ὅπου ἔχθραι· ἔρεις· θυμοί· ἐριθεῖαι φι-
λονεικίαι· θορύβους ἀσιγήτους ταῖς ψυ-
χαῖς ἐμποιοῦνται, ἐκεῖ τὸ πνεῦμα τῆς
πραότητος οὐκ ἀναπαύεται:—

θεο Ὁ θυμὸς, ἐδόθη σοι κατὰ μόνου τοῦ ὄφεως
δι' ὃν ἐξεώσθης:—

Θυμὸν χαλίνου μὴ φρενῶν ἔξω πέσῃς:—

☧ Καθαροὶ θυμοῦ ὦμεν· οὐ γὰρ κατοικεῖ
τὸ πνεῦμα τὸ ἅγιον ἔνθα θυμός:—

Οὐδὲν οὕτως καθαρότητα νοῦ καὶ τὸ δι-
ειδὲς θολοῖ τῶν φρενῶν, ὡς θυμὸς
ἄτακτος καὶ μετὰ πολλῆς τῆς ῥύμης φε-
ρόμενος:— Τυραννικὸν τὸ τοῦ θυμοῦ
πάθος, καὶ πολλάκις παρασύρει τοὺς
μὴ νήφοντας· καὶ πρὸς τὸ βάραθρον
αὐτὸ κατάγει τῆς ἀπωλείας:—

Διον ἀλεξαν Τὸ ὀργίζεσθαι παρ' ἡμῖν, ἄχρι τοῦ πταίειν
τὰ ἁμαρτήματα περιορίζεται· ὀργίζε-
σθε γάρ φησι καὶ μὴ ἁμαρτάνετε· καὶ τὸ
ἀκριβῶς κριτικὸν παραιτητέον· τοῦ ἐκ-
κλησιαστοῦ συμβουλεύοντος, μὴ γίνου δί-

Διδυμ. καιος πολύ:— Κἂν μεγάλος οὖν τις δόξῃ
θυμοῦσθαι· ἀλλ' ὅσον πάθει νικώμενος τοῦτο
ποιεῖ, ἄφρων ἐστί:—

ἀφρίον μὴ ἀποδέχου ἐγκράτειαν διωκομένην
πραότητος· ὅστις γὰρ βρωμάτων ἢ
πομάτων ἀπέχεται· θυμὸν δὲ ἀλόγως
κινεῖ, οὗτος ἔοικε ποντοπορούσῃ νηΐ.
καὶ ἐχούσῃ δαίμονα κυβερνήτην:—

—×— ρ̃ϥϥ Περὶ πολιτείας ἐκ τῆς· καὶ ἀνηκόων καὶ
ἀνυποτάκτων· καὶ κακοηθῶν καὶ πανούργων:— ⸓

λευϊτικοῦ Ἐὰν πορεύησθε πρός με πλάγιοι, πορεύσο-
μαι κἀγὼ μεθ' ὑμῶν, θυμῷ πλαγίῳ· καὶ
πατάξω ὑμᾶς, ἀντὶ τῶν ἁμαρτιῶν ὑμῶν:—

δαδ ἄνδρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ
ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν:—

παροι Διεστραμμένη καρδία, τεκταίνεται κακά:—
ἐνδεμιζήμαι κοῖ, διεστραμμέναι ὁδοί:—
Ἐπειδὴ οὐκ ἤθελον ἐμαῖς προσέχειν μου
γνώμαις· ἐμυκτήριζον δὲ ἐμοῖς ἐλέγχοις,
τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ
τοὺς καρπούς. καὶ τῆς ἑαυτῶν ἀσεβείας
πλησθήσονται:— ἀνὴρ ἄφρων καὶ
παράνομος. πορεύεται ὁδοὺς σκολιάς:—
λόγοι ἀσεβῶν, δόλιοι:— οὐκ ἐπιτεύξεται
δόλιος θήρας:— ψυχαὶ δόλιαι, πλα-
νῶνται ἐν ἁμαρτίαις· καὶ υἱῷ δολίῳ.
οὐδὲν ἔσται ἀγαθόν:—
Ὁ σκολιὸς. ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν
ἀπώλειαν:— ἀνὴρ σκολιὸς, διαπέμ-
πεται κακὰ καὶ διαχωρίζει φίλους:—
πρὸς τοὺς σκολιοὺς, σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ θεός:—

ἠσαΐου ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ·
ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ:—
τῶ λαῶ τούτω, ἐγενήθη καρδία
ἀνήκοος καὶ ἀπειθής· πάντες
ἀνήκοοι πορευόμενοι σκολιῶς:—
σολο σκολιοὶ λογισμοὶ, χωρίζουσιν ἀπὸ θεοῦ:—
Εἰς κακότεχνον ψυχὴν, οὐκ εἰσελεύσεται
σοφία· ἅγιον γὰρ πνεῦμα σοφίας,
βασι φεύξεται δόλον:— τὸ δολερὸν
καὶ ὕπουλον καὶ ἄπιστον· καὶ κακόηθες·
καὶ ἐπίβουλον· καὶ θρασὺ, τῆς
κακῆς καὶ ἀπονοήτου ἐναντίας πολιτείας
γνωρίσματα:— Καθόλου τὸ μὴ ἀκούειν,
πολλῶν καὶ μεγάλων κακῶν ἐστὶ
ῥίζα:— τὸ ἀφηνιάζειν καὶ
ἀντιλέγειν, πολλῶν κακῶν ἀπόδειξιν
ἔχει· πιανθεὶς μόσχος· ἐπίδοσ
ἐνδοιασμόν· ὄγκον τε καὶ ὑπερηφανίαν
ἤθους:—
Ἡ ἀντιλογία· τὸ αὐτοκρατορικὸν καὶ
ἀνυπότακτον δείκνυσι· κἂν ἐν μοχ
ματι τὰ πλημμελέστατος γένηται:—
φεῦγε τὸ παντοδαπὸν καὶ πολυμετάβολον
τοῦ τρόπου:— ὁ ὄφις ποικίλος·
καὶ διὰ τοῦτο καὶ ἕρπειν κατεδικάσθη:—
φι ἀναιδὲς βλέμμα· καὶ μετέωρος αὐχήν· καὶ
συνεχὴς κίνησις ὀφρύων· καὶ βάδισμα
σεσοβημένον· καὶ τὸ ἐπὶ μηδενὶ τῶν φαύλων

ἐρυθριᾶν, σημεῖόν ἐστι τύχης αἰσχίστης·
τοῖς ἀφανέσι τῶν οἰκείων ὀνειδῶν
τύπους ἐγγραφούσης τῷ φανερῷ σώματι:—

* ρϞϛ Περὶ πτωχῶν καὶ πενήτων· καὶ
ὅτι οὐ χρὴ αὐτοὺς ἐκκλί-
νειν. ἢ ἐξουθενεῖν:—

ἰὼβ Κραυγὴν πένητος καὶ κραυγὴν πτωχῶν.
δαδ εἰσακούσεται κύριος:— ἐγένετο κύριος κατα-
φυγὴ τῷ πένητι:— Οὐκ ἐπελάθετο
τῆς κραυγῆς τῶν πενήτων:—
Οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός:—
Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται
εἰς τέλος:— σοὶ ἐγκαταλέλειπται ὁ πτωχός:—
σολο πενία ἄνδρα ταπεινοῖ:— Ὁ ἀτιμά-
ζων πένητας, ἁμαρτάνει:— Ὁ συκο-
φαντῶν πένητας, παροξύνει τὸν ποι-
ήσαντα αὐτόν:—
πλουσίου, πτωχὸς οὐχ ὑφίσταται ἀπειλήν:—
μὴ πιέζου πένητι· πτωχὸς γάρ ἐστιν:—
προσπορεύεται ταπεινοῖς δόξα:— πάντα
τὰ ἔργα τοῦ ταπεινοῦ φανερά:—
πᾶς ὁ ἀδελφὸν πτωχὸν μισῶν, καὶ φιλίας
μακρὰν ἔσται:— μὴ παρεκτείνου πέ-
νης ὢν πλουσίῳ· τῇ δὲ σῇ ἐννοίᾳ ἀπόσχου:—
Κρείσσων πτωχὸς δίκαιος. ἢ πλούσιος
ψεύστης:— Κρείσσων πτωχὸς πορευόμε-
νος ἐν ἀληθείᾳ. πλουσίου ψεύστου:—
ἐκκλη Ἡ σοφία τοῦ πένητος ἐξουδενωμένη· καὶ λόγοι

Ἠσαΐου αὐτοῦ οὐκ εἰσὶν ἀκουόμενοι:~ Βοσκηθήσονται πτωχοὶ διὰ κυ· πένητες δὲ ἄνοι, ἐπεὶ ρήνησαν ἀπαύσονται:~

Κς ἐθεμελίωσε τὴν σιών. ς δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ:~

Σιράχ ταπεινὸς ἐσφάλη καὶ προσεπετίμησαν αὐτόν· ἐφθέγξατο σύνεσιν. καὶ οὐκ ἐδόθη αὐτῷ τόπος:~ πτωχὸς ἐλάλησε, καὶ εἶπαν τίς οὗτος:~ προσευχὴ ταπεινοῦ νεφέλας διῆλθε· καὶ οὐ μὴ παρακληθῇ. ἕως ἐπισκέψηται ὁ ὕψιστος:~

οὐ δίκαιον ἀτιμάσαι πτωχὸν συνετόν:~

σοφία ταπεινοῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ· καὶ ἐν μέσοι μεγιστάνων καθίσει αὐτόν:~

Βασι οὐ τὸ πένεσθαι ἐπονείδιστον. ἀλλὰ τὸ μὴ φέρειν γενναίως τὴν πενίαν:~

οὐδὲ μίαν αἰσχύνην τὸ πένεσθαι προξενεῖ:~

ἐπὶ τούτοις διαφέρομεν τῶν πλουτούντων οἱ πένητες. τῇ ἀμεριμνίᾳ· καὶ καταγελῶμεν αὐτῶν ἀγρυπνούντων. αὐτοὶ καθεύδοντες· καὶ τῶν συνεχομένων ἀεὶ καὶ φροντιζόντων. αὐτοὶ ἀφροντιστοῦντες καὶ ἀνειμένοι:~

πενία μετὰ ἀληθείας. πάσης ἀπολαύσεως τοῖς σωφρονοῦσι τιμιωτέρα:~

οὐδὲν τῷ θεῷ μέγα. ὃ μὴ καὶ πένης δίδωσι:~

Θεο κρεῖσσον πενίη πινυτή, πλούτοιο κακίου:~

κρεῖσσον πενία μὴ δικαίας κτήσεως:~

πένητος ἀνδρὸς, οὐδὲν ἀσφαλέστερον·
πρὸς γὰρ τὸ μὴ μένειν ἀλκὲ καὶ μόνον ἂν
τὸν μέσον: — δεῖ μὲν πένεσθαι. χά-
ριν ἂν πλουτεῖν καλῶς: —
Οἱ πένητες προσφιλοσοφήσαντες ἐγ-
γίζουσιν ἀεὶ τῷ θεῷ: —
Ὦ πτωχικὸν ἀξίωμα τῆς πενίας· θεοῦ
εἶναι προσωπεῖον· κρύπτεται ἐν
πενίᾳ θεός· καὶ πένης μὲν ὁ τὴν χεῖ-
ρα προτείνων. θεὸς δὲ ὁ δεχόμενος: —
ὠαρίου Ξένος καὶ πένης. θεοῦ κομμούριον.
ὁ δεχόμενος αὐτοὺς, ταχέως ἀνταμείβει: —

ρϟα

### π(ερὶ) παίδων· ὅτι χρὴ αὐτοὺς
### φοβεῖσθαι τοὺς γονεῖς
### τιμᾶν: —

τῆς ἐξόδου Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ἵνα
εὖ σοι γένηται. καὶ μακροχρόνιος ἔσῃ
λευϊτικόν ἐπὶ τῆς γῆς: — Ἕκαστος τὸν πατέρα
αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ φοβείσθω: —
παροιμιῶν· υἱὲ φύλασσε νόμους πατρός σου. καὶ μὴ ἀπώσῃ
θεσμοὺς μητρός σου· στέφανον γὰρ
χαρίτων δέξῃ σῇ κορυφῇ· καὶ κλοι-
ὸν χρύσεον ἐπὶ τῷ σῷ τραχήλῳ:
ἄκουε υἱὲ πατρὸς τοῦ γεννήσαντός σε· καὶ
μὴ καταφρόνει ὅτι γεγήρακε σοῦ ἡ μήτηρ:
υἱὸς σοφὸς, δοξάζει πατέρα: —
μαλαχ Οὕτως λέγει κ(ύριο)ς· ἐπειδὴ ἤκουσαν ὅτι υἱοὶ
Ἰωναδὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν

ποιεῖν ὅσα ἐνετείλατο αὐτοῖς ὁ πατὴρ αὐτ(ῶν), οὐ μὴ ἐκλείπῃ ἀνὴρ τῶν υἱῶν Ἰωναδὰβ παρεστηκὼς κατὰ πρόσωπόν μου. πάσας τὰς ἡμέρας τῆς γῆς: —

σιράχ Ὁ τιμῶν πατέρα. εὐφρανθήσεται ὑπὸ τέκνων· καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται: —

Ὁ δοξάζων πατέρα μακροημερεύσει· καὶ ὁ εἰσακούων κυρίου. ἀναπαύσει μητέρα αὐτοῦ· καὶ ὡς δεσπόταις δουλεύσει τοῖς γεννήσασιν αὐτ(όν): —

Ἐν ἔργῳ καὶ λόγῳ, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτῶν· εὐλογία γὰρ πατρὸς, στηρίζει οἴκους τέκνων· κατάρα δὲ μητρὸς, ἐκριζοῖ θεμέλια: —

ἀπ Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γὰρ ἐστὶν εὐάρεστον τῷ κυρίῳ: —

βασι Ἡ περὶ τοὺς γηράσαντας τῶν πελαργῶν πρόνοια. ἐξαρκεῖ τοὺς παῖδας ἡμῶν εἰ προσέχειν βούλοιντο. φιλοπάτορας καταστῆσαι: —

θεο Ἐργάζου τὸ καλόν, ὅτι καλὸν τῷ περιπεπλεῖσθαι· κἂν εἰ σοι μηδὲν ἕπεσθαι μέλλοι, τοῦτο αὐτὸ μισθός. τὸ περιχαρίζεσθαι: —

φι Τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας. τῶν ἀδυνάτων· ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε: —

* ρϙε ς περὶ πατραλοίων καὶ μητραλοίων· καὶ ὅσα ἕψεται κακὰ. τοῖς ἀπειθοῦσι τοῖς γονεῦσι: —

τῆς ἐξόδ Ὃς τύπτει πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω. Ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω.

λευιτικόν Ἄνθρωπος ὃς ἂν κακώσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω. Ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα ἢ μητέρα αὐτοῦ· καὶ ἐρεῖ πᾶς ὁ λαός, γένοιτο γένοιτο.

Υἱὸς ἀνήκοος ἐν ἀπωλείᾳ ἔσται.

Ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς.

ἰωσήπ [illegible] ἄν τι ἐκ [illegible], τὴν [illegible] φορεῖν ἀλκάνθας. Καὶ ἄν τι ἀγαθὸν [illegible] ἀποκυεῖν ἐλπίσας. Τοῦτ' ἐστιν ἄν τι δόξης καὶ τιμῆς. Ὕβριν καὶ ἀτιμίαν γονεῦσιν ἀποδιδοῦσαι. Καὶ τὴν τοῦ προφήτου σφετερίζεσθαι φωνὴν τὴν [illegible], ἐμμείνας τοῖς ἀμπεργοῦμαι μου τοῦ ποιήσαι [illegible]. Ἐπιεικῶς δὲ ἀλκάνθας.

ρϙϛ Ε Π(ερὶ) τοῦ παιδεύειν τοὺς γονεῖς τὰ ἴδια τέκνα καὶ σωφρονίζειν. Εἰ γὰρ τοῦτο μὴ πράξωσι, τῆς ἐξ ἐκείνων γινομένης ἁμαρτίας, καὶ αὐτοὶ μεθέξουσιν.

παροιμ Παίδευε υἱόν σου καὶ ἀναπαύσει σε, καὶ δώσει κόσμον τῇ ψυχῇ σου. Ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ· ὁ δὲ ἀγαπῶν ἐπιμελῶς παιδεύει. Μὴ ἀπόσχῃ νήπιον παιδεύειν· ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐκ ἀποθανεῖται.

πληγαὶ καὶ ἔλεγχοι διδόασι σοφίαν: —
Καλῶς ἐκτρέφει πηρ δίκαιος· ἐπὶ
δὲ υἱῷ σοφῷ, εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ: —
σιρᾶχ τέκνα σοί ἐστιν; παίδευσον αὐτά· καὶ κάμ-
ψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν: —
μάστιγες καὶ παιδεία ἐν παντὶ καιρῷ, σο-
φία: — παίδευσον τὸν υἱόν σου καὶ ἐργά-
σαι ἐν αὐτῷ· ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ
αὐτοῦ προσκόψῃς: — Ὁ ἀγαπῶν τὸν υἱ-
ὸν αὐτοῦ, ἐνδελεχήσει μάστιγας αὐτῷ: —
Ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ διαζηλώσει τὸν
ἐχθρόν· καὶ ἔναντι φίλων, ἐπ' αὐτῷ ἀγαλλιάσεται: —
Ἵππος ἀδάμαστος ἐκβαίνει σκληρός· καὶ
υἱὸς ἀνειμένος, ἐκβαίνει προαλής: —
Τιθήνησον τέκνον, καὶ ἐκθαμβήσει σε·
μὴ συγγελάσῃς αὐτῷ, ἵνα μὴ συνοδυνηθῇς·
μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι· θλά-
σον τὰς πλευρὰς αὐτοῦ, ἕως ἐστὶ νήπιος: —
ἀπο Οἱ πρες, μὴ παροργίζετε τὰ τέκνα
ὑμῶν· ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ
θεο καὶ νουθεσίᾳ κυ: — παιδ ἀφελέσθαι.
Διον πρὶ κόσμος μόνος: — Καταγέλασθαι ἄν τῷ
ἀλεξάν τῷ τῶν ἰδίων τέκνων ϗ οἰκείων ἀφραδή-
σαντι. παιδείαν ἐπὶ χεῖραν ξένοις: —
νει Τὰ ἀνάγωγα τῶν τέκνων ϗ τὰ πονηρεύματα,
τοῖς γονεῦσιν ἐγγράφεσθαι εἰώθεν: —
ρμγ περὶ ΠΛΗΘΟΥC ΚΑΙ ΔΗΜΟΥ ΠΟΛΕΩC: —
ἐξόδ. Οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ: —

Οὐ προστεθήσῃ μετὰ πλειόνων ἐκκλῖναι κρίσιν: —

παροιμ
μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως· καὶ μὴ καταβάλῃς σεαυτὸν ἐν ὄχλῳ: —

Θεο
Φιλόσοφοι δή μοι κἂν πρὸς τὸ παρὸν κατάσχωσι τὰς ὀργάς· ὥσπερ πῦρ ἐμφωλεῦον ὕλαις· ἢ ῥεῦμα βίᾳ κρατούμενον· εἰ καιροῦ λάβοιντο· ἂν ἅπτεσθαί τε καὶ ἀναρρήγνυσθαι :

— ✱ — ρϙη

## Περὶ πρεσβυτέρων :

Δαβιτίου·
Πολλοὶ ἁμαρτωλοὶ· πρεσβύτεροι ὄντες προσφέρουσι. καὶ οὐκ ἀποστρέφεται ὁ θς· ἀλλὰ τῷ πυρὶ τῷ ἁγίῳ ἁγιάζει τὰ προκείμενα δῶρα. καὶ ὁ μὲν ἄρτος γίνεται σῶμα τίμιον τοῦ κυρίου· καὶ τὸ ποτήριον αἷμα τίμιον τοῦ κυ· Εἰσὶν οὖν τινὲς ὑπολαμβάνοντες ὡς ἄλογόν τι ποιοῦντες· καὶ μὴ κοινωνοῦντες παρ᾽ αὐτῶν· μὴ εἰδότες ὅτι χεῖρον κατακρίνονται· τίς γὰρ εἶ σὺ ὁ κρίνων τὸν ἄρχοντά σου· Οὐκ ἤκουσας τοῦ ἀποστόλου λέγοντος ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· καὶ πάλιν· σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην· τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει· πόθεν ἔγνως ὅτι πρόβατον ποιμένα διασώσῃ· ἢ κατὰ ποιμένος κατηγορίας σφάζει· ὥσπερ οὖν τὸ ἄλογον πρόβατον

οὐ δύναται ὁ ζῶσαι τοὺς ὀδόντας
κατ' αὐτοῦ ποιούμενος, οὕτως οὐδὲ τῷ
λογικῷ προβάτῳ ἔστι καλόν, ὀξύ
νειν τὴν γλῶσσαν εἰς κατηγορίαν·
ὁ ὑπ' αὐτοῦ διδασκόμενος καὶ χειρα
γωγούμενος, οὐκ ἔχει ἐξουσίαν κρί
ναι καὶ ἐλέγχειν αὐτόν. καθὼς εἶπεν
ὁ ἀπόστολος· μὴ πρὸ καιροῦ τι κρί
νετε ἕως ἂν ἔλθῃ ὁ κ(ύριο)ς· ὃς καὶ φωτί
σει τὰ κρυπτὰ τοῦ σκότους. καὶ φανε
ρώσει τὰς βουλὰς τῶν καρδιῶν· ἑκά
μος ἔχει ἐξουσίαν κρῖναι σε· ὁ δὲ ἐ
κάμον κρίνων. κ(ύριό)ς ἐστιν:—

πλὴν καὶ οἱ ἱερεῖς ὀφείλουσι καλῶς διακεῖ
σθαι πρὸς τὸν λαόν· πρὸ πάντων ὑ
περαχόμενος αὐτοῦ ἐξ ὅλης καρδίας
καθὼς εἶπεν ὁ κ(ύριο)ς· ὁ ποιμὴν ὁ καλὸς
τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προ
βάτων· τῶν ἐν ἁμαρτίαις κειμένων· τὸν
λυπούμενον παρακαλῶν· τὸν πεπλα
νημένον ἐπιστρέφων· τὸν πένητα
παραμυθούμενος. ἀμνησίκακος εἶ
ναι· μνησικάκου γὰρ προσευχή, ἀπρόσ
δεκτος παρὰ κ(υρί)ῳ· ἐὰν μὴ διαλλα
γῇς τῷ πλησίον σου, μὴ ἀπέλθῃς εἰς
τὸ θυσιαστήριον· μνήσθητι τῆς παραγ
γελίας τοῦ κ(υρίο)υ· ἐὰν προσφέρῃς τὸ δῶ
ρόν σου εἰς τὸ θυσιαστήριον· καὶ ἐκεῖ μνησθ:—

ρϙθ Περὶ προσφυγίου καὶ τῶν προσφευγόντων ἐν ἱεροῖς τόποις· ὅτι χρὴ τοῖς μὲν ἀνευθύνοις βοηθεῖν· τοὺς δὲ ὑπαιτίους ἀποπέμπεσθαι:-

τῆς ἐξόδου Ἐὰν ἐπιθῆταί τις τῷ πλησίομ αὐτοῦ ἀποκτεῖναι αὐτὸμ δόλῳ καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου μου λήψῃ αὐτὸμ θανατῶσαι:-

παροιμ Μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου· μήποτε καταράσηταί σε καὶ ἀφανισθῇς:-

θεο Ἔτυχεν γυναῖκά τινα τῶν ἐπιφανῶν ἐξ ἀνδρὸς οὐ πρὸ πολλοῦ τὸμ βίομ ἀπολιπόντος χηρεύειν· ὁ δὲ τοῦ δικαστοῦ σύνεδρος ἐβιάζετο πρὸς γάμον ἕλκων ἀπαξιοῦσαν· ἡ δὲ οὐκ ἔχουσα ὅπως διαφύγῃ τὴν τυραννίδα, βουλεύεται βούλευμα οὐ τολμηρὸν μᾶλλον ἢ συνετόν· τῇ ἱερᾷ τραπέζῃ προσφεύγει· καὶ θεὸν ποιεῖται προστάτην κατὰ τῆς ὕβρεως. τί οὖν ἔδει ποιεῖν· μὴ ὅτι τὸμ μέγαν Βασίλειον καὶ τῶν τοιούτων ἀποδεδειγμένον νομοθέτην· ἄλλον δέ τινα τὸν πολὺ μετ᾽ ἐκεῖνον· ἱερέα δὲ ὅμως· οὐκ ἀντιποιεῖσθαι; οὐ χεῖρας ὀρέξαι θεοῦ φιλανθρωπίᾳ· καὶ νόμῳ τῷ τιμῶντι θυσιαστήρια; οὐ πάντα δρᾶσαι καὶ παθεῖν ἐθελῆσαι πρότερον ἤ τι βουλεύσασθαι κατ᾽ αὐτῆς ἀπάνθρωπον· καὶ καθυβρίσαι μὲν τὴν ἱερὰν τράπεζαν· κα

θυμρίσαι δὲ τὴν πταίην μεθ᾽ ἧσ ἰκέδεν; :—

⳩ εἰς εὐτρόπιον· τίνος ἕνεκεν ἀγανακτεῖς ἀγαπητέ· ὅτι
δὴ εἰς ἐκκλησίαν κατέφυγεν, ὁ πολεμή-
σας αὐτὴν διηνεκῶς; διὰ τοῦτο μὲν οὖ
μάλιστα δοξάζειν χρὴ τὸν θν̄. ὅτι ἣν
αὐτὸς ἀπετείχισε καὶ ἀπεκώλυσε κατα-
φυγεῖν γράμμασι καὶ νόμοις, αὐτὸς διὰ
τῶν ἔργων ἐκύρωσε· μαθέτω ὁ [illegible]·
καὶ τὸν νόμον ἐκεῖνος πρῶτος αὐ-
τὸς δι᾽ ὧν ἔπαθεν· καὶ γέγονε τῆς οἰκου-
μένης θέατρον· καὶ σιγῶν ἐντεῦθεν
ἀφίησι φωνὴν· ἅπασι παραινῶν καὶ
λέγων· μὴ ποιεῖτε τοιαῦτα· ἵνα μὴ πά-
θητε τοιαῦτα· καὶ διδάσκαλος ἀνεφά-
νη διὰ τῆς συμφορᾶς :—

ἰω ση πȣ Οὐ θέμις μετὰ τυραννικοῦ φρυάγματος ἐπι-
καίνειν κατατολμᾶν τοῖς ἀναιτίοις· καὶ
χειρὶ κραταιᾷ καὶ θρασείᾳ· καθάπερ
ἐκκόπτων καὶ χειρὸς ἰυ ἀποσπᾶν βιά-
ζεσθαι· τοὺς ἐπὶ τὸ ἄσυλον ὑπεκδύσαν-
τας· ἀλλὰ πρὸ τοῦ μὲν κἂν αἵματος μέτο-
χοι εἶεν οὗτοι, χρὴ τὴν τιμὴν μένειν
τῷ τιμητῷ· ἔπειτα δὲ πειρᾶσθαι
ὁσίως καὶ δικαίως παραινεῖν τού-
τους· καὶ οὐ δι᾽ ἑαυτῶν χειρώσασθαι· ἀλλὰ
μᾶλλον παρ᾽ αὐτῶν εἰς τοῦτο διατεταγμένων
νεωκόρων :—

ἐπὶ πράσεως καὶ ἀγοράσι:

παροιμ φύλαξαι τὰς ὁδούς σου ἀπὸ ἀμαλάκτου :—

Ἰεζεκιήλ. ὁ κτώμενος μὴ χαιρέτω· καὶ ὁ πωλῶν μὴ θρηνείτω· διότι ὁ κτώμενος πρὸς τὸν πωλοῦντα οὐ μὴ ἐπιστρέψῃ: —

Σιράχ. ἀνὰ μέσον πράσεως καὶ ἀγορασμοῦ, συντριβήσεται ἁμαρτία: —

— sss — sss — sss — sss — sss — *

Σα ς'

## Περὶ προαιρέσεως καὶ διαθέσεως· καὶ ὅτι τὴν προαίρεσιν καὶ ἐπ' ἀγαθῷ καὶ ἐπὶ κακῷ ἐξετάζει ὁ θεός: —

ἀπο(στόλου). τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν· τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν: —

Σέξτου. θυσία τῷ θεῷ, γνώμη ἀγαθή: —

Βασι(λείου). Ἐπαινοῦμεν τοὺς κατὰ προαίρεσιν ἀγαθούς: —

Κλήμεντ(ος). πλουσίαν οὐ τὴν δόσιν, ἀλλὰ τὴν προαίρεσιν μόνην ζητεῖ ὁ παιδαγωγὸς τὴν ψυχὴν κσ: —

— sss — sss — sss — sss — sss —

Σϥ ς'

## Περὶ παιδείας θεοῦ κατὰ δοκιμὴν καὶ πεῖραν γινομένης: —

Γενέσεως. Ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ θεὸς ἐπείραζε τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· Ἀβραὰμ Ἀβραάμ. καὶ εἶπεν ἰδοὺ ἐγώ· καὶ εἶπεν· λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν· ὃν ἠγάπησας τὸν Ἰσαάκ. καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων. ὧν ἄν σοι εἴπω: —

Δευτερονο(μίου). μνησθήσῃ πᾶσαν τὴν ὁδὸν ἣν ἤγαγέ σε κύριος ὁ θεός σου ἐν τῇ ἐρήμῳ· ὅπως ἂν κακώσῃ σε καὶ πει

ράσῃ σε καὶ διαγνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου.
εἰ φυλάξεις τὰς ἐντολὰς αὐτοῦ ἢ οὔ:
πειράζει κς ὁ θς ὑμᾶς· εἰδέναι εἰ ἀγαπᾶ
τε κν τὸν θν ὑμῶν:
ΙΩΒ μὴ ἀποποιοῦ μου τὸ κρίμα· οἴει δέ με ÷ μὴ δὲ οἴου με
ἄλλως σοι κεχρηματικέναι. ἢ ἵνα ἀναφα
ΔΑΔ νῇς δίκαιος: ἐδοκίμασας
ἡμᾶς ὁ θς· ἐπύρωσας ἡμᾶς ὡς πυροῦ
ἀπο ται τὸ ἀργύριον:
ἰακώ μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν·
βου ὅτι δόκιμος γενόμενος λήψεται τὸν
ἄφθαρτον ὃν ἐπηγγείλατο ὁ θς τοῖς ἀγαπ:
διαδμ Οὐ πᾶς κάμνων, αἰτίαν ἔχει τῆς νόσου
ἁμαρτίαν· εἰσὶ γὰρ ὑπὲρ τοῦ δοκι
μοι ἀναφανῆναι· καὶ ἄλλως συμφέ
ρον τὰς κακώσεις ὑπολαμβανόμενοι:

* * *

ΚΕ Περὶ ῥαθυμούντων καὶ ἀμελούντων·
καὶ καταφρονούντων καὶ ῥεμ
βομένων:

παροιμ Ὃς καταφρονεῖ πράγματος. κατα
φρονηθήσεται ὑπ' αὐτοῦ:
Ὅταν ἔλθῃ ὁ ἀσεβὴς εἰς βάθος κακῶν.
καταφρονεῖ: ὁ δὲ καταφρονούν
των· ἐν ἀπωλείᾳ:
ὁ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν, ἀπολεῖται:
Ἡ πόρνη, χρόνον τινὰ ἔξω ῥέμβεται· χρόνον
ἀριθμ. δὲ ἐν πλατείαις: καὶ ὀργισθεὶς θυμῷ κς

ἐπὶ τὸν ἰηλ· καὶ κατερέμβευσεν αὐτοὺς ἐν
τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη· ἕως ἐξα
ναλώθη πᾶσα ἡ γενεὰ οἱ ποιοῦντες τὰ
πονηρὰ ἐναντίον κυ:—

σιράχ Ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μικρὸν πεσεῖται:—
Ἐπὶ μικρῷ καὶ μεγάλῳ. εὐδοκίαν ἔχε:—
Ἐν μεγάλῳ καὶ μικρῷ. μὴ ἀγνόει:— Ὀργὴ μεγά
λη. γυνὴ μέθυσος καὶ ῥεμβάς:—

σοφίας σολο· ῥεμβασμὸς ἐπιθυμίας. μεταλλεύει νοῦν
ἄκακον:—

βασι· ἴδιον τοῦτο ἀρρώστημα. ἀργῆς καὶ ῥαθύμου
ψυχῆς· ἐνυπνιάζειν. ἐγρηγορότος
τοῦ σώματος:— Οἱ ἀφυλάκτως ὁδοι

φιλω πορουντες, διαμαρτάνουσι τῆς ὀρθῆς
καὶ λεωφόρου· ὡς πολλάκις εἰς ἀνοδίας
καὶ δυσβάτους καὶ τραχείας ἀτραπούς.
ἐκτρέπεσθαι:— αἱ τῶν νέων ψυχαὶ
παιδείας ἀμοιροῦσαι, καθάπερ ῥεῦμα
ἀνεπίσχετον· ὅπη μὲν ἂν τύχῃ, ῥέμβονται:—

* * *

Cπ̃ Περὶ συγγενῶν· ὅτι χρὴ φιλοτίμως
ἔχεσθαι. τῆς τούτων κηδεμονίας:

ἡσαΐου ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου,
ἀπ̂ οὐχ ὑπερόψει:— Ὡς καιρὸν ἔχομεν,
ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας·
μάλιστα πρὸς τοὺς οἰκείους τῆς πίστεως:—
Εἴ τις τῶν ἰδίων καὶ μάλιστα οἰκείων οὐ προ
νοεῖ, τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρ:—

θεο πᾶσι μὲν ἴσθι χρηστός. εἰ τοῦτο σθένοις.
πλέον δὲ τοῖς ἄλλοισι :—
τίς ἂν πιστεύσαι τοῖς ξένοισι καλὸν εἶναι.
τὸν πρὸς τοὺς οἰκείους κακῶς διακείμενον :—

* * *

ἐξ
Σε ς πι συμπεριφέρεσθαι ἀλλήλοις. καὶ τὴν
ἑνότητα ποθεῖν· τὸ γὰρ ἀπεσχισμέ-
νον. ταχέως ἐπιβουλεύεται :—

γενέσεως εἶπεν ὁ θς· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν :—

δαδ κς κατοικίζει μονοτρόπους ἐν οἴκῳ :—
ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό :—

παροιμ ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. ἰσχύει δέ, ὥσπερ τεθεμελιωμένον βασίλειον :—

ἐκκλησιαστ ἀγαθοὶ δύο ὑπὲρ τὸν ἕνα, οἷς ἐστὶν αὐτοῖς ὁ μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν· ὅτι ἐὰν πέσωσιν. ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ· καὶ οὐαὶ τῷ ἑνὶ ὅταν πέσῃ, καὶ μὴ ᾖ δεύτερος ἐγεῖραι αὐτόν :— ἐὰν ἐπικραταιωθῇ ὁ εἷς, οἱ δύο στήσονται κατέναντι αὐτοῦ· καὶ τὸ σπαρτίον τὸ ἔντριτον. οὐ ταχέως ἀπορραγήσεται :—
ἐν τρισὶν ὡραΐσθην καὶ ἀνέστην ὡραία, ἔναντι θῦ καὶ ἀνων :—

ἀπ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χς προσελάβετο ἡμᾶς :—
ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα :—

παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ, ἀ-
ξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐ-
κλήθητε, μετὰ πάσης ταπεινοφροσύνης
καὶ πραότητος· μετὰ μακροθυμίας· ἀ-
νεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ· σπουδά-
ζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πν̄ς.
ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης· ἓν σῶ-
μα καὶ ἓν πν̄α, καθὼς καὶ ἐκλήθητε.
ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.
γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί· εὔ-
σπλαγχνοι· χαριζόμενοι ἑαυτοῖς. κα-
θὼς καὶ ὁ θ̄ς ἐν χ̄ῳ ἐχαρίσατο ὑμῖν:
τὸ αὐτὸ φρονεῖτε, τὴν αὐτὴν ἀγάπην ἔχον-
τες· σύμψυχοι τὸ ἓν φρονοῦντες· μη-
δὲν κατ' ἐριθείαν. μηδὲ κατὰ κενοδο-
ξίαν· ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλή-
λοις προηγούμενοι· μὴ τὰ ἑαυτῶν ἕ-
καστος σκοποῦντες. ἀλλὰ τὰ ἑτέρων
ἕκαστος: — παρακαλοῦμεν ὑμᾶς
ἀδελφοί, νουθετεῖτε τοὺς ἀτάκτους· πα-
ραμυθεῖσθε τοὺς ὀλιγοψύχους· ἀντέ-
χεσθε τῶν ἀσθενῶν· μακροθυμεῖτε
πρὸς πάντας· ὁρᾶτε μή τις τινὶ κα-
κὸν ἀντὶ κακοῦ ἀποδῷ· ἀλλὰ πάντοτε
τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας: —

Βασι Βούλεται ἡμᾶς ὁ θεῖος λόγος· οἷον ἐνεξί τι
σπεύσας περὶ πολλοῦ τῆς ἀγάπης. τῶν
πλησίον ἡμῶν ἀντέχεσθαι καὶ ἐναναπαύεσθαι

αὐτοῖς. ἰσάζει πρὸς τὸ ἄνω τὴν ὁρμὴν
ἔχοντες. οἷον τινὲς ἀναδενδράδες
ταῖς κορυφαῖς τῶν ὑψηλῶν παρεικαζόμεναι:—

θε Οὐδὲν οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς
ἡ ἀντιδιδομένη διάθεσις:—

Οὐκ ἐξ ὧν χαριούμεθα σκοποῦμεν
μᾶλλον. ἀλλ' ἐξ ὧν ὠφελήσομεν:—

Συμμαχῶμεν ἀλλήλοις πνικῶς. γενώμεθα
φιλάδελφοι μᾶλλον. ἢ φίλαυτοι:—

Οἱ τέλειοι, τὸν θησαυρὸν τῆς πίστεως
δημοσιεύειν ὀφείλουσιν. οὐ φθονοῦντες
τὴν ὠδῖνα τῆς εὐσεβείας. οὐδὲ τὸ μό-
νους σώζεσθαι σωτηρίαν εἶναι νομίζοντες,
εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερεκχέοιεν:—

Τὸ σαθρὸν διορθοῦσθαι τοῖς κοινοῖς τῆς
συνάψεως. καθάπερ τῶν σχοινίων
τὰ τῇ πλοκῇ δυναμούμενα:—

Τὸ κοινὸν καὶ σύννομον ὠφελιμώτατον.
ὅταν κατ' ἀρετὴν γίνηται. χρὴ γὰρ
κοινωφελῶς ἔχειν ἕκαστον. τὰ παρὰ
τοῦ θῦ θεῖα χαρίσματα:—

φι Κοινωνικὸν καὶ οὐ μοναστικὸν ζῶον ὁ ἄνος:—
προσήκει τὸν ἀστεῖον, ὅπερ ὂν εἶναι θῦ:—

* * *

Cς Περὶ τῶν ἑαυτοὺς συνιστανόντων. ὅτι μάτην
κοπιῶσι· πᾶσα γὰρ δόσις ἀγαθή· καὶ πᾶν δώρημα
τέλειον, ἄνωθεν ἐκ θείας ψήφου τὸ βέβαιον καὶ
σταθερὸν ἔχει· ἡ δὲ οἴκοθεν προβολὴ καὶ κατὰ
ἄνον. ἕωλος καὶ ἀβέβαιος:—

ἀριθμ ἐλάλησε κορὲ καὶ δαθὰμ καὶ ἀβειρώμ.
καὶ ἀνέστησαν τὸ ἔναντι μωϋσῆ καὶ ἀα-
ρώμ. καὶ ἄνδρες τῶν υἱῶν ἰηλ πεντήκον-
ται ϗ διακόσιοι ἀρχηγοὶ συναγωγῆς σύγ-
κλητοι βουλῆς ϗ ἄνδρες ὀνομαστοί. ἐπι-
συνέστησαν ἐπὶ μωϋσῆν καὶ ἀαρὼμ καὶ εἶ-
πον. ἐχέτω ὑμῖν ὅτι πᾶσα ἡ συναγωγὴ κυ̅.
πάντες ἅγιοι καὶ ἐν αὐτοῖς κς̅. καὶ διατί
κατεξανίστασθε ἐπὶ τὴν συναγωγὴν κυ̅.
μὴ μικρὸν ὅτι ἀνήγαγες ἡμᾶς ἐκ τῆς αἰ-
γύπτου ἐκ γῆς ῥεούσης γάλα ϗ μέλι. ἀπο-
κτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ. ὅτι κα-
τάρχεις ἡμῶν; καὶ ἐβαρυθύμησε μω-
ϋσῆς σφόδρα ϗ εἶπε πρὸς κν̅. μὴ
πρόσχῃς εἰς τὴν θυσίαν αὐτῶν. οὐκ ἐ-
πιθύμημα οὐδενὸς εἴληφα αὐτῶν. οὐ-
δὲ ἐκάκωσα αὐτῶν οὐδένα:—

χο τούτων ἡ ἀλαζονεία καὶ φιλαρχία. ξένον
προσεξένησε θάνατον. χάσματι γῆς.
τῶ ἅδῃ παραδοθέντες:—

Βασιλειῶ
Β
Ἐποίησεν ἑαυτῷ ἀβεσσαλὼμ ἅρματα ϗ
ἵππους. καὶ πεντήκοντα ἄνδρας παρα-
τρέχειν ἔμπροσθεν αὐτοῦ. καὶ ὤρθρισεν
ἀβεσσαλὼμ καὶ ἐστήκει ἀνὰ χεῖρα τῆς ὁ-
δοῦ τῆς πύλης. καὶ ἐγένετο πᾶς ἀνὴρ
ᾧ ἐγένετο κρίσις ἐλθεῖν πρὸς τὸν βασι-
λέα εἰς κρίσιν. καὶ ἐβόησεν ἀβεσσαλὼμ
πρὸς αὐτὸν καὶ ἔλεγεν. ἐκ ποίας πόλεως

σὺ εἶ. καὶ εἶπεν ὁ ἀνήρ· ἐκ μιᾶς φυλῶν ἰσλ
ὁ δοῦλός σου. καὶ εἶπεν πρὸς αὐτὸν ὁ ἀβ-
εσσαλώμ· ἰδοὺ οἱ λόγοι σου ἀγαθοὶ καὶ εὔ-
κολοι. καὶ ὁ ἀκούων σου οὐκ ἔστι παρὰ τοῦ βα-
χρ σιλέως. καὶ τὰ ἑξῆς :— Καὶ τοῦτον τὸ ὑψη-
λὸν φρόνημα, εἰς ὕψος ἦρεν ὡς ἂν ἐκκολό-
πισθεν ἀπὸ τῶν τριχῶν :—

βασι γ Καὶ ἀδωνίας υἱὸς ἀγγὶθ ἐπήρετο λέγων. ἐγὼ
βασιλεύσω. καὶ ἐποίησεν ἑαυτῷ ἅρματα
καὶ ἱππεῖς. καὶ πεντήκοντα ἄνδρας
παρατρέχειν ἔμπροσθεν αὐτοῦ :—

χρ Καὶ οὗτος ἐθάρσει φερόμενος ἑαυτῷ δι-
ενοεῖτο κληρονομῆσαι τὴν βασιλείαν.
μὴ τυχὼν δὲ τοῦ πρὸ τοῦ σκοποῦ, ἐπὶ δεύ-
τερον ἦλθεν ἀθέμιτον διὰ τῆς τοῦ πρς συγ-
κοίτου. ὑπειληφὼς εἰ ταύτης εἰς γάμον
προσομιλήσει. περικρατῆσαι τῆς βα-
σιλείας. ὃ αἴς τῷ ἐκ ῥομφαίας ὀλέθρῳ
παρεδόθη. κρίσει τοῦ ἤδη κατεσχηκότος
τῶν σκήπτρων σολομῶντος :—

ἀπ Οὐχ ὁ ἑαυτὸν συνιστῶν. ἐκεῖνός ἐστι δόκι-
μος. ἀλλ᾽ ὃν ὁ κς συνίστησιν :—
Οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος. ἀλ-
λὰ τοῦ ἐλεῶντος θεοῦ :—
Οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν,
ἀλλὰ καλούμενος ὑπὸ τοῦ θεοῦ :—

ἀπ ἰακω Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον,
ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ πρς τφ :—

~ ςςςς ~ ςςς ~ ςςς ~ ςςς ~ ςςς ~ ςς ~

ϛβ ἐπὶ σαρκικῶν ἀνων. τῶν τοῖς σαρκι-
κοῖς πάθεσι δεδουλωμένων: ~

ΓΕΝ Ε ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνοι πολλοὶ γίνε-
σθαι ἐπὶ τῆς γῆς. καὶ θυγατέρες ἐγεννή-
θησαν αὐτοῖς. ἰδόντες δὲ οἱ υἱοὶ τοῦ
θῦ τὰς θυγατέρας τῶν ἀνων ὅτι κα-
λαί εἰσιν. ἔλαβον ἑαυτοῖς γυναῖκας
ἀπὸ πασῶν ὧν ἐξελέξαντο. καὶ εἶπεν
κσ ὁ θσ. οὐ μὴ καταμείνῃ τὸ πνα μου
ἐν τοῖς ἀνοις τούτοις. διὰ τὸ εἶναι
αὐτοὺς σάρκας: ~

σχο φύγωμεν τὴν μανίαν τῶν κατεγνωσμέ-
νων. καὶ μὴ ἐκδιδῶμεν ἑαυτοὺς σαρκι-
κῷ φρονήματι. ἀκούοντες λέγοντος
μάλιστα τοῦ θῦ. οὐ μὴ καταμείνῃ τὸ
πνα μου ἐν τοῖς ἀνοις τούτοις, διὰ
τὸ εἶναι αὐτοὺς σάρκας: ~

Οἱ ἄνοι οἱ ἐν σοδόμοις. πονηροὶ καὶ ἁμαρ-
τωλοὶ ἐνώπιον τοῦ θῦ σφόδρα: ~

Οἱ ἄνδρες τῆς πόλεως οἱ σοδομῖται.
περιεκύκλωσαν τὴν οἰκίαν τοῦ λώτ.
ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου ὅλος
ὁ λαός. καὶ ἐξεκαλοῦντο τὸν λὼτ καὶ
ἔλεγον πρὸς αὐτόν. ποῦ εἰσιν οἱ ἄνδρες
οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα. ἐξάγα-
γε αὐτοὺς πρὸς ἡμᾶς ἵνα συγγενώμε-
θα αὐτοῖς. ἐξῆλθε δὲ πρὸς αὐτοὺς λὼτ

πρὸς τὸ πρόθυρον· τὴν δὲ θύραν προσέῳ-
ξεν ὀπίσω αὐτοῦ· εἶπε δὲ αὐτοῖς· μηδα-
μῶς ἀδελφοὶ πονηρεύσησθε· εἰσὶ δέ μοι
δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα·
ἐξάξω αὐτὰς πρὸς ὑμᾶς· καὶ χρᾶσθε αὐταῖς
καθὸ ἐὰν ἀρέσκῃ ὑμῖν· μόνον τοὺς ἄν-
δρας τούτους μὴ ποιήσητε μηδὲν ἄδι-
κον· οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην
τῶν δοκῶν μου· εἶπον δέ· ἀπόστα ἐκεῖ·
εἰσῆλθες παροικεῖν μὴ καὶ κρίσιν κρί-
νειν; νῦν οὖν σὲ κακώσομεν μᾶλλον ἢ ἐ-
κείνους· καὶ παρεβιάσαντο τὸν λὼτ σφό-
δρα. καὶ ἤγγισαν συντρῖψαι τὴν θύραν·
ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας,
εἰσεσπάσαντο τὸν λὼτ πρὸς ἑαυτοὺς
εἰς τὴν οἰκίαν· καὶ τὴν θύραν τῆς οἰκίας
ἀπέκλεισαν. τοὺς δὲ ἄνδρας τοὺς ὄντας
ἐπὶ τὴν θύραν τοῦ οἴκου· ἐπάταξαν ἀο-
ρασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου· ϗ παρε-
λύθησαν ζητοῦντες τὴν θύραν· καὶ
μετὰ ταῦτα ἐπέβρεξε κ͞ς ὁ θ͞ς ἐπὶ σόδομα
καὶ γόμορρα θεῖον καὶ πῦρ παρὰ κ͞υ ἐκ
τοῦ οὐ͞νοῦ· ϗ κατέστρεψε τὰς πόλεις πά-
σας. ϗ πᾶσαν τὴν περίχωρον· καὶ πάν-
τας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι.
καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς: —
ἀπ͞ τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θ͞ν· τῷ
γὰρ νόμῳ τοῦ θ͞υ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ

δύνανται· οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι
οὐ δύνανται:— Ψυχικὸς ἄνθρωπος οὐ δέχεται
τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι·
καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνα-
κρίνεται:— Μὴ πλανᾶσθε· οὔτε πόρνοι· οὔ-
τε εἰδωλολάτραι· οὔτε μοιχοί· οὔτε μαλακοί:—
Φανερὰ ἐστὶ τὰ ἔργα τῆς σαρκός· ἅτινά ἐ-
στι πορνεία· ἀκαθαρσία· ἀσέλγεια· εἰδω-
λολατρεία· φαρμακεία· ἔχθραι· ἔρεις· ζῆλοι·
θυμοί· ἐριθεῖαι· διχοστασίαι· αἱρέσεις· φθόνοι·
μέθαι· κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προ-
λέγω ὑμῖν καθὼς καὶ προεῖπον· ὅτι οἱ τὰ
τοιαῦτα πράσσοντες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι:—
χρ Τοὺς ἐν τοῖς ἀθέσμοις τούτοις κεκυλικότας·
καὶ ἐκδεδωκότας τὴν ἑαυτῶν ζωὴν,
σαρκὶ καὶ αἵματι, ὁ ἐν ἔθνεσιν ἱερῶς κεκήρυκε
παιδευτής:— Οἱ σαρκικοὶ τὰ πνευματικὰ
πράττειν οὐ δύνανται· οὐδὲ οἱ πνευματικοὶ
Θεο τὰ σαρκικά:— Ὁ μέντοι οἱ τοῦ Θεοῦ, εἰ καὶ
Βασι πάντων τῶν πλασμάτων:— Οἶδα ἡμᾶς
ἐν νεότητι πρὸς τὰ τῆς σαρκὸς πάθη:—

... — ... — ... — ...

ΣΗ Περὶ συνηθείας πονηρᾶς· καὶ ὅτι δυνατὸν
ἀποσυνηθίσαι τῶν κακῶν· ὅτι μὴ ἐκ
φύσεως, ἀλλ' ἐκ προαιρέσεως τὸ κακόν:—
Δαδ Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν:—
Ἱερε Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ· καὶ πάρ-
δαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς

δύνησθε ἃ ποιῆσαι μὴ μεμαθήκατε καλῶς:
ἀλλ' ἢ θεῖα μὲν οὐ μὴ λαλήσωσι· μεμάθηκε γὰρ
ἡ γλῶσσα αὐτῶν λαλεῖν τάδε:—

σιρα ἄνος συνηθιζόμενος λόγοις ὀνειδισμοῦ,
εἰς τὸν αἰῶνα οὐ μὴ παιδευθῇ:—

σολω χρόνοις κρατυνθὲν τὸ ἄδικον ἔθος, ὡς νό-
μος διαφυλάχθη:—

ἀπ οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπα-
κοὴν· δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρ-
τίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιο:—

Βασι Ἡ πρὸς τοὺς φαύλους τῶν λόγων συνήθεια,
ὁδός τίς ἐστιν ἐπὶ τὰ πράγματα· διὸ πά-
σῃ φυλακῇ τὴν ψυχὴν τηρητέον· μὴ διὰ
τῆς τῶν λόγων ἡδονῆς παραδεξάμενοι
τι λάθωμεν τῶν χειρόνων· ὥσπερ οἱ τὰ
δηλητήρια μετὰ τοῦ μέλιτος προσιέμενοι:—
τὸ φιλοπόνως προσδιατρίβειν τῇ ἁμαρ-
τίᾳ, ἕξιν τινὰ δυσκίνητον τῆς ψυχῆς
ἐμποιεῖ· παγιωθὲν γὰρ πάθος ψυχῆς
καὶ κακοῦ μελέτη χρόνῳ κυρωθεῖσα,
δυσκίνητός ἐστιν ἢ καὶ ἀνίατος παντε-
λῶς· εἰς φύσιν ὡς τὰ πολλὰ τοῦ ἔθους με-
θισταμένου:— ἔθους χωρισμός, καὶ τοῖς ἀ-
λόγοις ἐστὶ δυσφορώτατος· καὶ π[illegible]:

κλημ Ὁ τοῖς ἐξ ἀρχῆς ἐκ μειρακίου συνήθης τις, τούτοις εἰς
ἀεὶ συγκαταγηράσκειν προσήκει:—
Πολλοὶ συντροφαῖς ἡδοναῖς συμπαγῆναι θέλουσι· καὶ
ταῖς πέδαις σιδηραῖς τόρμους ἐπὶ μήκιστον τῆς

[illegible] ταύτην [illegible]; πῶς ἐκάθησα [illegible] πῶς ἐκ[illegible]; ἱεροπο-
λεῖ [illegible] διδάσκαλον. ἰδοὺ [illegible] φησίν, ὅτι [illegible] ἔλυσεν. [illegible]
ἄγγελος [illegible]. [illegible] θεῖον [illegible].
Καὶ [illegible]; [illegible]. [illegible] φίλον [illegible]:

Πολλὰ πολλάκις [illegible]. πολλάκις [illegible],
ὅσες [illegible]. ἄλλως [illegible],
[illegible]; [illegible] καὶ [illegible].
[illegible] δύναται [illegible]
[illegible].

ἡλικίας ὦ μειρακίσκοι, πρὸς τοῖς ἁμ
πήμοις ῥᾳδίως ἀπαρρέουσι· μὴ κου
ρόμενοι χρόνιον κακόν, χρονίως
ἰάσασθαι: — Ὅταν μισεῖ τις
διὰ τὴν ἐπιοῦσαν τῆς ἡλικίας σύνεσιν.
τοῦτο διὰ τὴν πολυχρόνιον τῶν κακῶν
συνήθειαν πράττειν συναναγκάζεται.
δημιῶν σύνοικον τὴν ἁμαρτίαν παρα
μέλψας: — μηδαμῶς τὴν φύσιν αἰ
τιώμεθα· πάντα γὰρ ὅσον ἡδέα ἢ ἀη
δῆ. ἡ συνήθεια ποιεῖ: —

φι Ἐγχρονίζον ἔθος, φύσεως κραταιότερον
ἐστί. καὶ μικρὰ μὴ κωλυόμενα ἁμαρ
τήματα, φύεται καὶ ἐπιδίδοται πρὸς
μέγεθος συναυξανόμενα: —
δυσεκρίζωτος ἡ πλάνη, ὅταν διαδέξηται
πολλοὺς χρόνους: —

* * *

ϲθ Περὶ σκανδάλων. Ὅτι χρὴ πάσῃ δυνά
μει φυλάττεσθαι, μὴ δοῦναι πρόσ
κομμα σκάνδαλον μηδενί· τῷ
γὰρ αἰτίῳ τὸ κακὸν ἐπιγράφεται: —
εὐαγ Προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνον
τες τῷ Ἰῦ λέγοντες· ὁ διδάσκαλος ὑμῶν
οὐ τελεῖ τὰ δίδραχμα; ὁ δὲ λέγει· ναί·
καὶ ἐλθόντι αὐτῷ εἰς τὴν οἰκίαν, προ
έφθασεν αὐτὸν ὁ Ἰς λέγων· τί σοι δοκεῖ,
Σίμων· οἱ βασιλεῖς ἀπὸ τίνων λαμβάνουσι τέ

Εἶπεν ὁ Κς· οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκαν
δάλων· ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα·
οὐαὶ δὲ τῷ ἀνθρώπῳ. δι' οὗ τὸ σκάνδαλον ἔρ
χεται· καὶ ἂν τις σκανδαλίσῃ ἕνα
τῶν μικρῶν τούτων τῶν πιστευόντων
εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρέμηται
ὀνικὸς μύλος περὶ τὸν τράχηλον
αὐτοῦ. καὶ καταποντισθῇ ἐν τῷ πελάγει
τῆς θαλάσσης:

απ̄ ἀπρόσκοποι γίνεσθε Ἰουδαίοις καὶ Ἕλλη
σι. καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ:
τοῦτο κρίνατε μᾶλλον. τὸ μὴ τιθέναι πρόσ
κομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον· διὸ
εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου.
οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα ἵνα μὴ
τὸν ἀδελφόν μου σκανδαλίσω:

θεο Οὐκ ἀνέχομαι πρὶν τεθῆναι τινὰς ἐρημοὶ
τῶν πάντα τηρούντων ἐπὶ μέρους τὰ
ἡμέτερα· ἐν τῷ καιρῷ ὅσ' ἕτερος ἔχοντα·

* * *

CΪ Περὶ συνεδρίου· ὅτι ἐπικίνδυνον καὶ ἐ
πιβλαβὲς τὸ συνελθεῖν καὶ ἐπικοινω
νῆσαι συνεδρίων πονηρῶν καὶ ἐπιβουλ:

ἐξόδ· Οὐ προστεθήσῃ μετὰ πλήθους ἐκκλῖ
ναι κρίσιν: Οὐκ ἔσῃ μετὰ πλειόνων
δευτ ἐπὶ κακίᾳ:
δαδ μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ
ἀσεβῶν· καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη:

Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότη-
τος. καὶ μετὰ παρανομούντων οὐ μὴ
εἰσέλθω. ἐμίσησα ἐκκλησίαν πονηρευο-
μένων. καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω: —

παροιμ Ὑπερτιθένται λογισμοῖς. οἱ μὴ τιμῶν
τῶν συνεδρίων· ἐν δὲ καρδίαι βουλευομέ-
νων. μένει βουλή· οὐ μὴ ὑπακούσηι ὁ
κακὸς αὐτῆ· οὐδὲ μὴ εἴπηι καίριόν τι
καὶ καλὸν τῶι κοινῶι: —

Ἔκβαλε λοιμὸν ἐκ συνεδρίου. καὶ συνεξε-
λεύσεται αὐτῶι νεῖκος· ὅταν γὰρ καθί-
σηι ἐν συνεδρίωι. πάντας ἀτιμάζει: —

σιρα Ἐν συναγωγῆι ἁμαρτωλῶν, ἐκκαυθήσε-
ται πῦρ στιππύον συνηγμένον. συ-
ναγωγὴ ἁμαρτωλῶν: — ∴ — ∴ — ∴ — *

— * πε ΣΥΝΕΙΔΗΣΕΩΣ ἈΓΑΘῆΣ. ΚΑῚ ἘΝΣΥ-
ΝΕΙΔΗΤΩΝ: —

σια

Βασιλειῶν α' Εἶπε Σαμουὴλ πρὸς τὸν λαόν· μάρτυς
Κύριος ἐν ὑμῖν· καὶ μάρτυς χριστὸς αὐτοῦ
σήμερον ἐν ταύτηι τῆι ἡμέραι. ὅτι οὐχ εὕ-
ρηκατε ἐν χειρί μου οὐθέν· καὶ εἶπαν·
μάρτυς: —

Ἐσδρα Ἐγὼ καὶ οἱ ἀδελφοί μου.
ἄρτον τῆς ἡγεμονίας μου οὐκ ἐφάγομεν·
μνήσθητί μου ὁ θεὸς πάντα εἰς ἀγαθόν.
ὅσα ἐποίησα τῶι λαῶι τούτωι: —

παροιμ Ἐξουσίαν διδόασι λόγοις. ἀρχὴ δικαιοσύνης: —

σχο Σημειωτέον πόθεν προσήνεγκαι. ἢ ἐν ἔργοις
καὶ λόγοις παρρησίαν πρὸς ἅπαντας: —

σιράχ μακάριος ἀνήρ, ὃς οὐκ ὠλίσθησεν ἐν τῷ
στόματι αὐτοῦ· καὶ ὃς οὐ κατενύγη ἐν λύ
πῃ ἁμαρτιῶν· μακάριος οὗ οὐ κατέ
γνω ἡ ψυχὴ αὐτοῦ· καὶ ὃς οὐκ ἐξέπεσεν ἀπὸ
πράξε τῆς ἐλπίδος αὐτοῦ :—
Εἶπεν ὁ παῦλος πρὸς τοὺς ἐφεσίους· ἀργυ
ρίου· ἢ χρυσίου· ἢ ἱματισμοῦ. οὐδενὸς
ἐπεθύμησα· αὐτοὶ οἴδατε ὅτι ταῖς χρεί
αις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ. ὑπηρέτη
σαν αἱ χεῖρες αὗται :— Εἶπεν παῦ
λος· ἄνδρες ἀδελφοί· ἐγὼ πάσῃ συνειδή
σει ἀγαθῇ πεπολίτευμαι τῷ θεῷ. ἄχρι τῆς
ἡμέρας ταύτης :—
Εἶπεν ὁ παῦλος· ἐν τούτῳ καὶ αὐτὸς ἀσκῶ.
ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν
θν̄. ϗ τοὺς ἀν̄ους διαπαντός :—
Ἰω ἐπι ἀγαπητοί· ἐὰν ἡ καρδία ἡμῶν μὴ κατα
στολῆς· γινώσκῃ ἡμῶν. παῤῥησίαν ἔχομεν πρὸς
τὸν θν̄· καὶ ὃ ἐὰν αἰτῶμεν. λαμβάνο
μεν παρ' αὐτοῦ· ὅτι τὰς ἐντολὰς αὐτοῦ
τηροῦμεν. καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτ̄ ποιοῦμεν :—
Βασι Οὐκ ἔστι σοι εἰπεῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.
οὐκ ᾔδειν τὸ ἀγαθόν· προφέρεται γάρ σοι τὰ
οἰκεῖα ζῷα, ἱκανῶς παρεχόμενα διά
κρισιν ἀγαθοῦ καὶ κακοῦ· τὰ μὲν γὰρ τοῦ
σώματος βάρη, ταῖς ἐπὶ τῆς τρυτάνης
ῥοπαῖς δοκιμάζομεν· τὰ δὲ τοῦ νοῦ ἐκμέ
κται, τῷ αὐτεξουσίῳ τῆς ψυχῆς· ὃν καὶ ζῷον

ὠνόμασεν ὁ προφήτης· διὰ τὸ ἴσην λαμβάνειν τὴν ῥοπὴν ἑκάτερα :—

Θεο τοῦτο μόνον οὐκ ἐξέφυγεν τὸ ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς δικαστήριον· πρὸς ὃ ὁρῶντας μόνον. τὴν ἄλλην ὁδὸν ἰτέον :—

Κἂν τοὺς ἄλλους παραλογιζώμεθα. ἡμᾶς γε αὐτοὺς οὐ δυνησόμεθα· ὥσπερ καὶ ἐν τῷ παίζειν. μὰν ἐπὶ σφαίρας καὶ ἀμάχητον :—

Σιρ ἐπὶ συνειδήσεως πονηρᾶς, καὶ αὐτοκατακρίτου :—

Γενέσεως Εἶπεν Ἰούδας· δεδικαίωται Θάμαρ ἢ ἐγώ :—

Εἶπεν Ἰούδας τοῖς ἀδελφοῖς αὐτοῦ· οὐκ εἶπον ὑμῖν μὴ ἀδικήσητε τὸ παιδάριον καὶ οὐκ ἠκούσατέ μου; καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκδικεῖται ἐκ χειρὸς ὑμῶν :—

Βασι Γ Εἶπεν Σαοὺλ πρὸς Δαβίδ· ἡμάρτηκα· ἐπίστρεφε τέκνον Δαβίδ, ὅτι οὐ κακοποιήσω σε :

Εὐαγγ τότε ἰδὼν Ἰούδας ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ πρὸς αὐτόν· τί πρὸς ἡμᾶς. σὺ ὄψει. καὶ ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησε· καὶ ἀπελθὼν ἀπήγξατο :—

Πράξεων ἀνήρ τις ὀνόματι Ἀνανίας· ἐπώλησε κτῆμα καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικός· καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν :—

Φίλων τίς δ᾽ ἁμαρτὼν οὐχ ὥσπερ ἐν δικαστηρίῳ ὑπὸ τοῦ συνειδότος κατηγορεῖται, κἂν μηδεὶς ἕτερος ἐλέγχῃ :—

CIΓ ✕ Ε π τῶν οἰκεία συνηθεία ἀμαυρουμένων:— ✕

ὠσηέ προφήτ ἐξεπόρνευσεν ἐφραὶμ. καὶ ἐμιάνθη ἰσλ. οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν. τοῦ ἐπιστρέψαι πρὸς τὸν θν αὐτῶν:—

Κατεδυνάστευσεν ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ. κατεπάτησε τὸ κρίμα:—

ἡσαΐου Νεῦρον σιδηροῦν ὁ τράχηλος σου. καὶ τὸ πρόσωπόν σου χαλκοῦν:—

ἱερεμ Ὄψις πόρνης ἐγένετό σοι. ἀπηναισχύντησας πρὸς πάντας:— ᾐσχύνθησαν καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν. καὶ οὐδ᾽ ὧς καταισχυμμένοι ᾐσχύνθησαν:—

ἰδοὺ ἐγὼ κρίνομαι πρὸς σὲ ἐν τῷ λέγειν σε οὐχ ἥμαρτον· ὅτι κατεφρόνησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου:—

παροιμ ἀσεβὴς ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ:—

ἀπ τὸ πνα ῥητῶς λέγ. ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων. ἐν ὑποκρίσει ψευδολόγων. κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν:—

CIΔ ✕ ∴ ✕ περὶ συμβούλου:— ∴ ✕

σιρα. πᾶς σύμβουλος ἐξαιρεῖ βουλήν. ἀλλ᾽ ἔστι συμβουλεύων εἰς ἑαυτόν:—

ἀπὸ συμβούλου φύλαξον τὴν ψυχήν σου. καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία. καὶ γὰρ αὐτὸς ἐν ἑαυτῷ βουλεύεται. μήποτε βάλη

ἐπὶ σοὶ κλῆρον. καὶ εἴπῃ σοι καλὴ ἡ ὁδός σου· καὶ
στήσεται ἐξ ἐναντίας ἰδεῖν τὸ συμβησόμενόν σοι:—
μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε· καὶ ἀπὸ
τῶν ζηλούντων σε κρύψον βουλήν:—
ἀρχὴ παντὸς ἔργου, λόγος· καὶ πρὸ πάσης πρά-
ξεως, βουλή:— Οἱ εἰρηνεύοντές σοι, ἔστω-
σαν πολλοί· οἱ δὲ σύμβουλοί σου, εἷς ἀπὸ χιλίων:—
φι Ἐπεὶ δὲ πρὸς πολλὰ τῶν κατὰ τὸν βίον τυφλὸς
ὁ τῶν μὴ πεφιλοσοφηκότων νοῦς, χρηστέον
τοῖς βλέπουσι τὰς τῶν πραγμάτων εἰδέας
σιβ πρὸς ὁδηγίαν:—

## ΠΕΡΙ ϹΚΛΗΡΟΤΡΑΧΗΛΩΝ:—

τῆς ἐξόδ Εἶπεν κς πρὸς μωϋσῆν· εἰπὸν τοῖς υἱοῖς
ἰηλ· ὑμεῖς λαὸς σκληροτράχηλος· ὁρᾶτε
μὴ πληγὴν ἄλλην ἐγὼ ἐπάξω ἐφ᾽ ὑμᾶς. καὶ
παροιμ ἐξαναλώσω ὑμᾶς:— ὁ σκληροκάρδιος
ὠσηέ οὐ συναντᾷ τοῖς ἀγαθοῖς:— ἐφραὶμ. δάμαλις
προφη δεδιδαγμένη, ἀγαπᾶν νεῖκος:—
ἱερεμ περιτμήθητε τῷ θεῷ ὑμῶν· καὶ περιτέμεσθε
τὴν σκληροκαρδίαν ὑμῶν ἄνδρες ἰούδα:—
πάντα τὰ ἔθνη, ἀπερίτμητα σαρκί· καὶ
πᾶς οἶκος ἰηλ, ἀπερίτμητοι καρδίας αὐτῶν:—
ἰεζεκιήλ Εἶπεν κς πρός με· υἱὲ ἀνου· ἐξαποστέλλω ἐγὼ
πρὸς τὸν οἶκον τοῦ ἰηλ τοὺς παραπικραίνον-
τάς με· οἵτινες παρεπίκρανάν με αὐτοὶ καὶ
οἱ πατέρες αὐτῶν· ἠθέτησαν ἐν ἐμοί, ἕως
τῆς σήμερον ἡμέρας· καὶ υἱοὶ σκληροπρόσω-
ποι καὶ στερεοκάρδιοι· πρὸς οὓς ἐγὼ ἐξαποστέλλω

πρὸς αὐτούς· τάδε λέγει κύριος· ἐὰν ἄρα
ἀκούσωσι καὶ ποιήσωσιν· διότι οἶκος
παραπικραίνων ἐστί. καὶ ἐν μέσῳ σκορ
πίων σὺ κατοικεῖς· λάλησον τοὺς λόγους
μου πρὸς αὐτούς· διότι πρὸς λαὸν βαρύ
χειλον καὶ βαρύγλωσσον οὐκ ἐξαποστέλλῃ
πρὸς τὸν οἶκον ἰηλ:— ::: — ::: — ::: ⁜

σιϛ ⁜ ΠΕΡΙ ΣΧΗΜΑΤΑΡΙΩΝ :— ::: — :: ⁜

δαδ τῷ στόματι αὐτῶν ηὐλόγουν. καὶ τῇ καρδίᾳ
ἠσαΐου αὐτῶν κατηρῶντο:— ὁ λαὸς οὗτος
τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν
πόρρω ἀπέχει ἀπ' ἐμοῦ:—
παροιμ ἐνεὸν ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι:—
σιρά ἐννεύων ὀφθαλμῷ, τεκταίνει κακά· καὶ
οὐδεὶς αὐτὸν ἀποστήσει ἀπ' αὐτοῦ· ἀπέναν
τι τῶν ὀφθαλμῶν γλυκανεῖ τὸ στόμα αὐ
τοῦ· καὶ ἐναντίον τῶν λόγων σου ἐκθαυμά
σει· ὕστερον δὲ διαστρέψει τὸ πρόσωπον
αὐτοῦ. καὶ ἐν τοῖς λόγοις σου δώσει σκάν
δαλον:— ἔστι σοφιζόμενος ἐν λόγοις
μισητός· οὐ γὰρ ἐδόθη αὐτῷ χάρις
εὐαγ παρὰ κυ:— προσέχετε ἀπὸ τῶν
ψευδοπροφητῶν· οἵτινες ἔρχονται
πρὸς ὑμᾶς. ἐν ἐνδύμασι προβάτων· ἔσω
θεν δὲ εἰσὶ λύκοι ἅρπαγες· ἀπὸ τῶν καρ
πῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς:
Οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑπο
κριταί· ὅτι παρομοιάζετε τάφοις κεκονι

αμένοις· οἵτινες ἔξωθεν μὲν φαίνονται
τοῖς ἀνθρώποις ὡραῖοι· ἔσωθεν δὲ γέμουσιν
ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας·
οὕτως καὶ ὑμεῖς· ἔξωθεν μὲν φαίνεσθε
δίκαιοι· ἔσωθεν δὲ μεστοί ἐστε· ὑποκρίσε-
ἀπο ως καὶ ἀνομίας: — οἱ τοιοῦτοι ψευδα-
πόστολοι, ἐργάται δόλιοι· καὶ μετασχημα-
τιζόμενοι εἰς ἀποστόλους χυ· καὶ οὐ θαῦ-
μα· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματί-
ζεται εἰς ἄγγελον φωτός: οὐ μέγα οὖν εἰ
καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζον-
ται εἰς διακόνους δικαιοσύνης: ὧν τὸ
τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν: —
θεο οὐκ ἐν μικροῖς τὸ δοκεῖν· οὐδὲ ἐν ματαίᾳ κα-
τηφείᾳ τὸ φιλόσοφον· ἀλλ' ἐν ψυχῆς ἀρρενότη-
τι καὶ διανοίας καθαρότητι· καὶ γνησίᾳ
τῇ πρὸς τὸ καλὸν νεύσει: —
παραπέπηγασι ταῖς ἀρεταῖς αἱ κακίαι· εἰ-
σί πως ἀγχίθυροι· καὶ ῥᾷστον ἄλλο τι ὄντας,
ἕτερον νομισθῆναι τοῖς μὴ τὰ τοιαῦτα πε-
παιδευμένοις: —

σιζ

## πε συμμέτρου καταστάσεως: —

παροιμ μέλι εὑρὼν· φάγε τὸ ἱκανόν· μή ποτε πλη-
ἐκκλη σθεὶς ἐξεμέσῃς: — μὴ ἔσο δίκαιος πο-
λύ· μηδὲ σοφίζου περισσά· μή ποτε ἐκπλαγῇς·
καὶ μὴ γίνου σκληρὸς ἵνα μὴ ἀποθάνῃς ἐν οὐ
καιρῷ σου· ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτοι·
ὅτι ὁ φοβούμενος τὸν θν· διεξελεύσεται τὰ πάντα:

σιραχ βάρος ὑπὲρ σὲ μὴ ἄρῃς· καὶ ἰσχυροτέροι
σου καὶ πλουσιωτέροις σου μὴ κοινώνει:–
τί κοινωνήσει χύτρα πρὸς λέβητα· αὕτη
προσκρούσει καὶ αὕτη συντριβήσεται:–
μὴ ζήτει παρὰ κυ ἡγεμονίαν· μηδὲ πα
ρὰ βασιλέως καθέδραν δόξης:–

ἀπο λέγω παντὶ τῷ ὄντι ἐν ὑμῖν μὴ ὑπερφρο
νεῖν παρ' ὃ δεῖ φρονεῖν· ἑκάστῳ ὡς ὁ
θς ἐμέρισε μέτρον πίστεως:.

θεο Βέλτιον τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι:–
Βέλτιον ἀκούειν φρονίμων ἀεὶ μανθάνοντας ἢ
ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν:–
μὴ καθάπερ ἔνιοι θερμοὶ καὶ διακαεῖς
καὶ τὸν ἐπιεικῆ λογισμὸν ἀπορρίψαν
τες· καὶ τὴν καλῶς ἄγουσαν εὐλάβειαν
ἀποπτύσαντες. πόρρω τῆς μανίας ταύτης ἐσό
μεθ' ἀδελφοί· ἀλλ' εἴσω τῶν ἐμμέτρων ὅ
ρων φιλοσοφῶμεν· ἀμέτρητος γὰρ πλη
σμονὴ καὶ κόρος. ὄλεθρον ἐργάζεται καὶ
πέρ' ὄντος μάλιστα:–
ὥσπερ ἐσθῆτος καὶ διαίτης καὶ γέλωτος καὶ
διαβήματος οἶσάν τινα κοσμιότητα, οὕ
τω δὴ καὶ λόγου καὶ σιωπῆς ἐπιτηρῶμεν:–
καὶ θεόφιλον τὸ κατ' αὐ:– φεύγω τὸ ἄμετρον.
καὶ κολάζω τὴν ἀπληστίαν· καὶ ἀργὸς εἶ
ναι μᾶλλον ἢ περίεργος δέχομαι· ἐὰν μὲν
ἀμφότερα διαφυγεῖν ἀξιῶ. καὶ τοῦ μετρίου
τυγχάνειν· καὶ δειλότερος μᾶλλον τοῦ δέοντος.

ἢ θρασύτερος:— Οὔτε νωθρότερον εἶ-
ναι τοῦ μετρίου καλόν. οὔτε θερμότερον·
ὥστε ἢ δι᾽ ὀκνηρίαν πᾶσι συμφέρεσθαι. ἢ δι᾽ ἀτα-
ξίαν πάντων ἀποστατεῖν· ὁμοίως γὰρ
καὶ τὸ νωθρὸν ἄπρακτον. καὶ τὸ εὐκίνη-
τον ἀκοινώνητον:— ⁂

ΠΕΡΙ CΥΝΑΝΤΗΜΑΤΩΝ ΚΑΙ ΑΠΡΟCΔΟΚΗΤΩC
CΙΗ CΥΜΒΑΙΝΟΝΤΩΝ ΤΙCΙΝ· ΩΝ Η ΓΝΩCΙC Η-
ΜΙΝ ΜΕΝ ΙCΩC ΑΓΝΩCΤΟC. ΘΩ ΔΕ ΕΥΓΝΩCΤΟC:

ΔΑΔ παρὰ τῷ ὀνόματι τῆς σημάνσεως:— τοῦτο πονη-
ἐκκλη ρὸν ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν ἥλιον.
ὅτι συνάντημα ἓν τοῖς πᾶσιν:—
ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν. αὐτὸς ἀγαθὸς ὑπὲρ
τὸν λέοντα:— ἐδόθη ὁ ἄφρων ἐν ὕψεσι
μεγάλοις. καὶ πλούσιοι ἐν ταπεινῷ καθή-
σονται. εἶδον δούλους ἐφ᾽ ἵπποις. καὶ
ἄρχοντας πορευομένους ὡς δούλους ἐπὶ τῆς γῆς:—

βασι Κἂν οἱ λόγοι τῶν παρὰ θ(εο)ῦ οἰκονομουμένων δι-
αφεύγωσιν ἡμᾶς, ἀλλὰ πάντως γε τὸ παρὰ
τοῦ σοφοῦ καὶ ἀγαπῶντος ἡμᾶς οἰκονομη-
θέν. ἀποδεκτὸν ἔστω κἂν ἐπίπονον ᾖ:—

ΘΕΟ τοῖς ἡμετέροις μᾶλλον ἐπιστατεῖν δεξώμεθα τὸν
ἡμέτερον εἴτε ποιητὴν εἴτε καὶ πλάστην ἡ-
μῶν χρὴ καλεῖν· κἂν δι᾽ ἐναντίων τι ὅπως ἡμῖν διε-
ξάγηται· δι᾽ αὐτὸ τοῦτο τυχὸν καὶ ἀγνοούμενον·
ἵνα τῷ δυσθεωρήτῳ τὸν ὑπὲρ πάντα λόγον
θαυμάζωμεν· ἐπεὶ τὸ μὲν ῥᾳδίως ἁλισκόμενον, ἅ-
παν καὶ καταφρονεῖται· τὸ δὲ ὑπὲρ ἡμᾶς ὅσῳ δυσεφι

κτέτερον. τὸ οὕτω θαυμαστότερον καὶ γυ-
μνάζει τὸν πόθον. ἅπαν τὸ διάφορον
τὴν ἔφεσιν :— sss — sss — sss — sss — s ✱

σιθ ✱ πε' Συγκαταβάσεως καὶ συμπαθείας εἰς
ἀλλήλους. Ὅτι ὑπὲρ θυσίας τῷ φι-
λανῳ καὶ ἀνενδεεῖ θεῷ ἀρεστά :—

ὠσηὲ προφήτης Τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται. Διότι
ἔλεος θέλω καὶ οὐ θυσίαν :— Ὁ ἐπισπλαγχνι-
ζόμενος ἐλεηθήσεται :—

παροι. σοφία σο. δεῖ τὸν δίκαιον. εἶναι φιλάνθρωπον :—

εὐαγγέ. Εἶπεν ὁ πηρ πρὸς τὸν πρεσβύτερον αὐτοῦ υἱόν·
τέκνον σὺ πάντοτε μετ' ἐμοῦ εἶ· καὶ τὰ ἐμὰ
πάντα σά ἐστιν· εὐφρανθῆναι δὲ ἔδει
καὶ χαρῆναι. ὅτι οὗτος ὁ ἀδελφός σου νε-
κρὸς ἦν καὶ ἀνέζησεν. ἀπολωλὼς καὶ εὑρέθη :—

ἀπ. Ὀφείλομεν ἡμεῖς οἱ δυνατοί. τὰ ἀσθενήματα
τῶν ἀδυνάτων βαστάζειν. καὶ μὴ ἑαυ-
τοῖς ἀρέσκειν :— ἀδελφοί. ἐὰν προληφθῇ
ἄνθρωπος ἔν τινι παραπτώματι. ὑμεῖς οἱ πνικοὶ
Γα. καταρτίζετε τὸν τοιοῦτον ἐν πνι πραό-
τητος· ἀλλήλων τὰ βάρη βαστάζετε. καὶ οὕτως
ἀναπληρώσατε τὸν νόμον τοῦ χυ :—

γίνεσθε εἰς ἀλλήλους χρηστοί· εὔσπλαγχνοι· χα-
ριζόμενοι ἑαυτοῖς. καθὼς καὶ ὁ χσ ἐχαρίσατο ὑμῖν :—
περιπατεῖτε ~~τὸ~~ ἐν ἀγάπῃ. καθὼς καὶ ὁ χσ ἠγά-
πησεν ὑμᾶς. καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡ-
μῶν προσφορὰν καὶ θυσίαν τῷ θῷ εἰς ὀσμὴν
εὐωδίας :— παρακαλοῦμεν ὑμᾶς δὲ ἀδελφοί μου :

Θεο Ἐπεὶ δὲ ἔλεον θέλει καὶ οὐ θυσίαν ὁ πάν-
των δεσπότης· καὶ ὑπὲρ χιλιάδας ἀρ-
νῶν πιόνων εὐσπλαγχνίαν, οὐκ ἔστιν ἀ-
τιμότερός σοι τοῦ κτήνους ὁ ἄνθρωπος·
ὃ πεσὸν εἰς βόθρον ἢ πλανηθὲν, ἀναφέ-
ρειν σοι καὶ ἐπανάγειν ὁ νόμος διακελεύε-
ται· γυμνάζων ἡμᾶς ἀπὸ τῆς εἰς τὰ
μικρὰ φιλανθρωπίας· ἐπὶ τὴν τελεωτέραν
καὶ μείζονα· πόσῳ γὰρ ὀφείλομεν
τοῖς ὁμοφύλοις καὶ ὁμοτίμοις. ἢ καὶ
μέχρι τῶν ἀλόγων ἀπαιτούμενοι:—
Χρήσιμος εἶναι τοῖς προσπίπτουσι χρή.
καὶ τοῖς ἐλεοῦσι κτᾶσθαι τὸν ἔλεον:—

* * *

## Περὶ σοφῶν καὶ συνετῶν ἀνδρῶν· καὶ ὅ-
## σκ τι χρὴ αὐτοὺς ἑτοίμους εἶναι. εἰς
## ὠφέλειαν πάντων:—

Σολο Ἀδόλως ἔμαθον, ἀφθόνως μεταδίδωμι·
τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι:—
Πλῆθος σοφῶν σωτηρία κόσμου:—
Κρεῖττον ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐ-
τοῦ, ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ:—
Σειραχ Σοφία κεκρυμμένη καὶ θησαυρὸς
ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις:—
Εὐαγ Δωρεὰν ἐλάβετε. δωρεὰν δότε:—
ἀπ Πέτρου Ἕτοιμοι πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦν-
τι ὑμᾶς λόγον. περὶ τῆς ἐν ὑμῖν ἐλπίδος.
ἀλλὰ μετὰ πραότητος καὶ φόβου καὶ συνειδήσεως
ἀγαθῆς:—

βασι

Κινδύνοις προσομιλίας ἐν τῷ μὴ προχεί
ρως ἀποδιδόναι τὰς περὶ θῦ ἀποκρίσεις.
σκα τοῖς ἀγαπῶσι τὸν κν :— ϛϛϛ — ϛϛϛ — ϛϛϛ —

× τῆς ἐξόδου Περὶ τῶν συμβουλὴν δεχομένων ϛ ἐλέγχων:

Ἰδὼν ἰοθὸρ πάντα ὅσα ἐποίει μωσῆς τῷ
λαῷ λέγει· τί τὸ ῥῆμα τοῦτο. ὃ σὺ ποιεῖς
τῷ λαῷ· διατί σὺ κάθῃ μόνος καὶ πᾶς ὁ
λαὸς παρέστηκέ σοι. ἀπὸ πρωῒ ἕως δεί
λης· καὶ λέγει μωσῆς τῷ γαμβρῷ αὐτοῦ·
ὅτι παραγίνεται πᾶς ὁ λαὸς ἐκζητῆσαι
κρίσιν παρὰ τοῦ θῦ· ὅταν γὰρ γένηται αὐ
τοῖς ἀντιλογία ϛ ἔλθωσι πρός με. διακρί
νω ἕκαστον ϛ συμβιβάζω αὐτοὺς τὰ προσ
τάγματα τοῦ θῦ ϛ τὸν νόμον αὐτοῦ· εἶπεν
δὲ ὁ γαμβρὸς μωσεῖ πρὸς αὐτόν· οὐκ ὀρθῶς
τὸ ῥῆμα τοῦτο ὃ σὺ ποιεῖς· φθορᾷ κατα
φθαρήσῃ ἀνυπομονήτῳ ϛ σὺ ϛ πᾶς ὁ
λαὸς οὗτος ὅς ἐστι μετὰ σοῦ· βαρύ σοι τὸ ῥῆ
μα τοῦτο· οὐ δυνήσῃ ποιεῖν σὺ μόνος.
νῦν οὖν ἄκουσόν μου καὶ συμβουλεύσω σοι· ϛ
ἔσται ὁ θς μετὰ σοῦ· σκέψαι ἀπὸ παντὸς
τοῦ λαοῦ· ἄνδρας δυνατούς· θεοσεβεῖς
δικαίους· μι — σοῦντας ὑπερηφανί
αν· καὶ καταστήσεις αὐτοὺς ἐπὶ τὸν λαὸν
χιλιάρχους· ϛ ἑκατοντάρχους· καὶ πεν
τηκοντάρχους. ϛ δεκάρχους· καὶ κρινοῦ
σι τὸν λαὸν πᾶσαν τὴν ὥραν· τὸ δὲ ῥῆμα
÷ Ἐπι τὸ ὑπέρογκον ἀνοίσουσι πρὸς σέ· τὰ δὲ βρα

χθαι τῶμ περὶ μάντεωμ περὶ ναὶ σημαντοί· καὶ κου-
φίσοις μ' ἀπὸ σοῦ καὶ σημάνῃ τί μέλλομ γενέ-
σθαι· ἐὰμ τὸ ῥῆμα τοῦτο ποιήσῃς. ς καταλ-
Βασι λειῶ α' λάσσεται ὁ θεός:— Εἶπεν Σαοὺλ τῷ παιδα-
ρίῳ τῷ μετ' αὐτοῦ· δεῦρο ἀμαστρέψωμεμ· ς
Εἶπεν αὐτῷ τὸ παιδάριον· ἰδοὺ δὴ ἄνθρωπος
τοῦ θεοῦ ἐν τῇ πόλει ταύτῃ ἔνδοξος· καὶ πᾶν
ὃ ἐὰμ λαλήσῃ ἔσται. καὶ ἀπαγγελεῖ ἡμῖν
χρ τὴν ὁδὸν ἡμῶν:— τὴν σημαινομένην τοῦ παι-
δὸς φωνὴν δεξάμενος. βασιλείας ἔτυχε
κερδαίνεται πρὸς τὸν προφήτην ἐντάξε-
Βασι β' ως:— ἦλθε Νάθαμ πρὸς Βηρσαβεὲ μητέρα
Σολομῶντος λέγωμ· οὐκ ἤκουσας ὅτι ἐβασί-
λευσεν Ὀρνίας υἱὸς Ἀγγεθί· καὶ ὁ κύριος ἡμῶν
οὐκ ἔγνω; καὶ νῦν δὴ συμβουλεύσω σοι· ς
σῶσον τὴν ψυχήν σου· καὶ τὴν ψυχὴν Σολο-
μῶντος τοῦ υἱοῦ σου· καὶ δεῦρο εἴσελθε
πρὸς τὸμ βασιλέα Δαυίδ· ς ἐρεῖς πρὸς αὐ-
τόν· οὐχὶ σὺ βασιλεῦ ὤμοσας τῇ δούλῃ σου
κατὰ κυρίου θεοῦ λέγωμ· ὅτι Σολομῶν ὁ υἱός σου
βασιλεύσει μετ' ἐμέ· καὶ αὐτὸς καθήσεται ἐπὶ
τοῦ θρόνου μου; ὅτι ἐβασίλευσεν Ὀρνίας·
καὶ ἔτι συλλαλούσης μετὰ τοῦ βασιλέως. κἀγὼ
εἰσελεύσομαι μετά σε· καὶ πληρώσω τὴν χώ-
ραν σου· ς εἰσῆλθε Βηρσαβεὲ πρὸς τὸμ βα-
σιλέα εἰς τὸμ κοιτῶνα:—
Παροιμ οἷς ἀκούομεν ἐγχείρησις ζωῆς, ἐμμελέστερος φρόνιμος
μαθήσεται:—

B.E.

Εἰσακούει ζημιούμενος σοφός· φυλάττων
δὲ ἐλέγχους δοξασθήσεται:—

Ὁ τηρῶν ἐλέγχους ἀγαπᾷ τὴν ψυχὴν αὐτοῦ:—

Ὁ φυλάσσων ἐλέγχους σοφισθήσεται:— Ἐὰν
ἐλέγξῃς ἄνδρα φρόνιμον νοήσει αἴσθησιν:—

ΘΕΟ Ἐστὶ γὰρ τοῦτο ἀνδρὸς μεγαλόφρονος· φίλων
ἀποδέχεσθαι μᾶλλον ἐλευθερίαν, ἢ ἐχθρῶν
κολακείαν:—

## Περὶ τῶν συμβουλὴν μὴ δεχομένων καὶ
## ϹΚϞ μισούντων ἐλέγχους:

ΠΑΡΑΛΙΠΟΜΕΝΩΝ· Εἶπεν Δαυὶδ πρὸς Ἰωὰβ καὶ πρὸς τοὺς ἄρ-
χοντας τῆς δυνάμεως· πορεύθητε καὶ
ἀριθμήσατε τὸν λαὸν ἰηλ· καὶ εἶπεν Ἰωάβ·
ἵνα τί ζητεῖ ὁ κύριός μου τοῦτο· ἵνα μὴ γένη-
ται εἰς ἁμαρτίαν τοῦ ἰηλ:—

σχο Δαυὶδ τὴν τοῦ Ἰωὰβ παραίνεσιν μὴ δεξάμε-
νος, ο̅ χιλιάδας ἀπώλεσεν:—

Παροιμ· Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε:—

Οἱ ἔλεγχοι τῷ ἀσεβεῖ μώλωπες αὐτῷ:— Ὁ μι-
σῶν ἐλέγχους, ἄφρων· ὁ δὲ ἐλέγχων τὸν
ἀσεβῆ, μωμήσεται ἑαυτόν:—

Οἱ μισοῦντες ἐλέγχους, τελευτήσουσιν αἰσχρῶς:—

Οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν:—

Εἰς ὦτα ἄφρονος μηδὲν λέγε· μήποτε
μυκτηρίσῃ τοὺς συνετούς σου λόγους:—

Ἀμώς· Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντας:—

Ἀγγαίου· Μὴ μισεῖτε ἐν πύλαις ἐλέγχοντας:—

B.E.

εὐαγ Ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε
καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ
μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀ
δελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ :—

Βασι ἀσυμβούλευτος ἄνος. πλοῖον ἀκυβέρνητον :—
Ὁ μὲν καταδεχόμενος τὴν παρὰ τοῦ ἀδελφοῦ
θεραπείαν. προσφιλὴς μὲν ἐκείνῳ αὐτῷ, ἀσύμφο
ρος ἐστὶν αὐτὸς ἑαυτοῦ :—

Θεο. Ψυχὴ πᾶσα ἀνουθέτητος, ἀθεράπευτος :—

ΟΚΕ ※ ς Περὶ σωφρονισμοῦ· καὶ ὅτι χρὴ ἡμᾶς διὰ
τῶν ἀλλοτρίων κακῶν σωφρονίζεσθαι :—※

Δευτερο Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. καὶ οἱ ἐ
πίλοιποι ἀκούσαντες φοβηθήσονται :—

Θεο Νουθετεῖσθαι δεῖ τῇ τῶν πλησίον πληγῇ.
Καὶ διὰ τῶν ἀλλοτρίων κακῶν, τὰ οἰκεῖα
εὖ τίθεσθαι :— Ἐν ταῖς ἀλλοτρίαις
συμφοραῖς. τὰ οἰκεῖα εὖ τίθεσθε :—

※ Βέλτιόν ἐστι, σωφρονιζόμενος τοῖς ἀλλο
τρίοις κακοῖς :— τοῖς ἑτέρων παθήμασιν.
ἄλλοι διδάσκονται σωφρονεῖν :—

φιχ Χρήσιμον ταῖς ἑτέρων ἀτυχίαις σωφρο
νίζεσθαι :— Ἡ κόλασις, νουθετεῖ καὶ
σωφρονίζει πολλάκις μὲν καὶ τοὺς ἁμαρ
τάνοντας. εἰ δὲ μὴ, πάντως γοῦν τοὺς
πλησιάζοντας :— sss — ss — ss — sss — s ※

※ ΣΚΔ ς Περὶ σπουδῆς· καὶ ὅτι ἀνόνητος πᾶσα σπουδὴ.
μὴ βουλομένου θεοῦ :—

δαδ. παρὰ κ̅υ̅ τὰ διαβήματα ἀν̅ο̅υ̅ κατευθύνεται:—
ἐὰν μὴ κ̅ς̅ οἰκοδομήσῃ οἶκον, εἰς μάτην
ἐκοπίασαν οἱ οἰκοδομοῦντες:—

παροιμ παρὰ κ̅υ̅, κατευθύνεται τὰ διαβήματα ἀνδρί:—
ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου· πα
ἱερεμ ρὰ δὲ κ̅υ̅ ἡ βοήθεια:— Οἶδα κ̅ε̅, ὅτι οὐκ ἔστιν
προφη τῷ ἀν̅ῳ̅ ἡ ὁδὸς αὐτοῦ· οὐδὲ ἀνὴρ πορεύεται
καὶ κατορθοῖ πορείαν αὐτοῦ:—

ἀπ Οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ
βασι τοῦ ἐλεοῦντος θεοῦ:— Χωρὶς τῆς πα
ρὰ θ̅υ̅ ἀφορμῆς ἐπιδιδόναι τινὰ ἑαυτὸν
τῷ κατ' ἀρετὴν βίῳ, ἀμήχανον:—

☧ Τὸ ἑλέσθαι τὰ καλὰ καὶ βουληθῆναι καὶ σπου
δάσαι καὶ πάντα ὑπομεῖναι πόνον, τῆς ἡ
μετέρας ἐστὶ προθέσεως· τὸ δὲ εἰς τέλος
ἀγαγεῖν αὐτὰ καὶ μὴ συγχωρῆσαι διαπεσεῖν.
καὶ πρὸς αὐτὸ τὸ πέρας ἐλθεῖν τῶν κατορ
θωμάτων, τῆς ἄνωθέν ἐστι χάριτος· ἐμε
ρίσατο γὰρ πρὸς ἡμᾶς τὴν ἀρετὴν ὁ θ̅ς̅· καὶ
οὔτε ἐφ' ἡμῖν εἶναι τὸ πᾶν, ἵνα μὴ εἰς ἀπό
νοιαν ἐπαιρώμεθα· οὔτε αὐτὸς τὸ πᾶν εἴα
κεν, ἵνα μὴ εἰς ῥαθυμίαν ἀποκλινώμεθα·
ἀλλ' ὀλίγον ἀφεὶς ἐπὶ τοῖς ἡμετέροις πόνοις,
τὸ πλέον αὐτὸς κατορθοῖ:—

μεθοδ πάσης ἀγαθῆς πράξεως ἡ καταρχή, ἐν τῇ
ἡμετέραι βουλῇ τὴν ὑπόστασιν κέκτηται·
τὸ δὲ συμπέρασμα, ἐν θεῷ:—

Κλήμ(εντος) Βουλομένοις μὲν ὁ θ(εὸ)ς ταῖς ἡμετέραις τύχαις συμβοηθεῖ· εἰ δὲ ἀποστῶσι τῆς προθυμίας, καὶ τὸ δοθὲν ἐκ θεοῦ πνεῦμα συνεστάλη:—

Διαδόχ(ου) Οὐδὲν ἐν ἀνθρώποις ἐστὶ τῶν κυρίως εὐφημουμένων καὶ ἀληθῶς ἐπαινουμένων, ὃ μὴ ἐκ θ(εο)ῦ δέδοται:— sss — sss —※

σκε

## π(ερὶ) σοφίας κοσμικῆς :— sss — sss —※

Ἠσαΐου ἀπολῶ σοφοὺς ἐν τῇ ἰδίᾳ μωρίᾳ λέγει κ(ύριο)ς:—

ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν· καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω, λέγει κ(ύριο)ς:—

Ἱερεμ(ίου) ᾐσχύνθησαν σοφοί· καὶ ἐπτοήθησαν καὶ ἑάλωσαν. ὅτι λόγον κ(υρίο)υ ἀπεδοκίμασαν:—

Ἀπ(οστόλου) γέγραπται γάρ· ἀπολῶ τὴν σοφίαν τῶν σοφ(ῶν), καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω· ποῦ σοφός· ποῦ γραμματεύς· ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου· οὐχὶ ἐμώρανεν ὁ θ(εὸ)ς τὴν σοφίαν τοῦ κόσμου τούτου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ θ(εο)ῦ· οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θ(εό)ν. εὐδόκησεν ὁ θ(εὸ)ς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας:—

Βασι(λείου) Ἡ περιουσία τῆς τοῦ κόσμου σοφίας, προσθήκην αὐτοῖς οἴσει ποτὲ τῆς χαλεπῆς κατακρίσεως· ὅτι οὕτως ὀξὺ περὶ τὰ μάταια βλέποντες. ἑκόντες περὶ τὴν σύνεσιν τῆς ἀληθείας ἀπετυφλώθησαν:—

Ἐοίκασι τοῖς ὄμμασι τῆς γλαυκὸς οἱ περὶ τὴν

ματαίαν σοφίαν ἡγοῦμαι κόσμου· καὶ γὰρ
ἐκείνη ὥσπερ ὅτε εἰς νύκτα ποτὲ ἀστέρες ὄντες·
ἡλίου δὲ λάμψαντος ἀμαυροῦνται· ιη
καὶ τούτων ἡ διάνοια ὁ ζητητικὴ μὲν ἐστὶ
πρὸς τὴν τῆς ματαιότητος θεωρίαν· βασιλει ων γ
πρὸς δὲ τὴν τοῦ ἀληθινοῦ ἀνθρώπου κατα-
νόησιν. ἐξαμαυροῦνται:

θεο σοφία πρώτη. σοφίας ὑπερορᾶν τῆς ἐν λό-
γοις καὶ μόνης καὶ προφάσεως λέξεων. καὶ
ταῖς κινδύνοις καὶ περιφανείαις τιθέ-
ασιν· ἐμοὶ δὲ γένοιτο τῶν ἐν λόγοις
ἐν ἐκκλησίαις λαλῆσαι μετὰ συνέσεως.
σκϛ ἢ μυρίοις λόγοις ἐν γλώσσῃ: —×

περὶ στρατιωτῶν: —

εὐαγ Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμε-
νοι λέγοντες· καὶ ἡμεῖς τί ποιήσωμεν·
καὶ εἶπεν πρὸς αὐτούς· μηδένα διασεί-
σητε· μηδὲ συκοφαντήσητε. καὶ
ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν:

θεο ἀρκεῖσθε τοῖς ἰδίοις ὀψωνίοις οἱ στρατι-
ῶται· καὶ μηδὲν ὑπὲρ τὸ διατεταγμένον
ἀπαιτεῖτε. ταῦτα μὲν διακελεύεται
μαθητῶν Ἰωάννης. ὁ μέγας τῆς ἀληθείας
φι κήρυξ. τί λέγων ὀψώνιον: — τῷ στρα-
τιώτῃ οὐδὲν δεῖ. ἕως τῶν κατὰ τὴν στρατείαν
περιεργάζεσθαι· ἀλλὰ μόνον μὴ ὁσιοῦν δεῖ.
ὅτι τέτακται τὴν εἰρήνην φυλάττειν: —×

σκβ

Περὶ συνδιατριβῆς χρηστῶν ἀνδρῶν. καὶ
ὅτι χρὴ ἀρίστοις ἀνδράσι κολλᾶσθαι καὶ
μὴ πονηροῖς· ἐξομοιοῦνται γάρ τις ἐκεί-
νοις, μεθ᾽ ὧν τὰς διατριβὰς ποιεῖται :—

Βασιλειῶν γ
Εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· αἴτησον τί ποιή-
σω σοι. πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ·
καὶ εἶπεν Ἐλισσαιέ· διπλᾶ τὸ πνεῦμά σου ἐπ᾽ ἐμέ·
καὶ εἶπεν· ἐσκλήρυνας τοῦ αἰτήσασθαι· πλὴν ἐὰν ἴ-
δῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, ἔσται σοι
οὕτως· ἐὰν δὲ μὴ ἴδῃς, οὐ μὴ γένηται :—

Σχο
Ἐν τούτοις που διδασκόμεθα, μὴ διαμέλλειν τοῖς ἀ-
ρίστοις κατὰ μίμησιν εἶναι ἄνδρας κἂν ἑκά-
ροι κοινωνοῦντας· πολλὴν γὰρ ὄνησιν ἔχει ἡ μετ᾽
αὐτῶν συνουσία· καὶ μάρτυς Ἐλισσαιέ, ἄχρι
τέλους προσκαρτερήσας τῷ Ἠλίᾳ, καὶ
διπλῆς τῆς ἑαυτοῦ ἀξίας τετυχηκώς :—

Παροι
Συμπορευόμενος σοφοῖς, σοφὸς ἔσῃ :—
μὸ τοῖς σοφῶν. παράμενε σὺν ὅτῳ :— νεα-
νίσκος μετὰ ὁσίου, καὶ ἀληθεία ἡ ὁδὸς αὐτοῦ :—

Σιρα
Ἐὰν ἴδῃς συνετόν, ὄρθριζε πρὸς αὐτόν· καὶ
βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου :—
Ἐν πλήθει πρεσβυτέρων στῆθι· καὶ εἴ τις σοφός
προσκολλήθητι αὐτῷ :— Μὴ παρίδῃς διή-
γημα σοφῶν· καὶ ἐν παροιμίαις αὐτῶν ἀναστρέφου :—
Ἄνδρες δίκαιοι ἔστωσαν σύνδειπνοί σου :—
Μετὰ ἀνδρὸς εὐσεβοῦς ἐνδελέχιζε :— Ὃν ἂν ἴδῃς
συντηροῦντα ἐντολάς. ὃς ἐν τῇ ψυχῇ σου

κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἐὰν πταίσης συ-
Βασι ναλγήση σοι:— Ὥσπερ οἱ ζωγράφοι ὅ-
ταν ἀπὸ εἰκόνων εἰκόνας γράφωσι· πυ-
κνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες
τὸν ἐκείνου χαρακτῆρα πρὸς τὸ ἑαυτῶν
σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα.
οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν
πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι
τέλειον· οἷον πρὸς ἀγάλματά τινα κινού-
μενα καὶ ἔμπρακτα τοὺς βίους τῶν ἁγί-
ων ἀποβλέπειν χρή. καὶ τὸ ἐκείνων ἀγα-
θὸν οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως:—
Ὅταν ἴδῃς ἐθνικὸν υἱὸν σώφρονος καὶ τίσμαι
πῆς κατὰ τὸ ἦθος ἀταξίας ἐπιμενόμενον.
πρόσωπον ἑαυτοῦ τὸ σπουδαῖον ἐπιτεῖνον· ἵνα
γένηι παραπλήσιος τῇ καρποφόρῳ ἀκλῆ
ἐκ τῆς τῶν ἀγρίων παρουσίας συναθροιζού-
σῃ τὴν δύναμιν· καὶ τὴν μὲν ῥίζαν ἐπισχύ-
σῃ· ἐπὶ μὲν πλέον δὲ τοὺς καρποὺς ἐκτρεφούσῃ:—
Θεο σοφῶν θέρος ἐκ τριῶν· προισίων δὲ ἑκῆ:— ⁜

ΣΚΗ

Πε συνδιαγωγῆς κακῶν ἀνδρῶν.
καὶ ὅτι χρὴ φεύγειν αὐτούς:— ⁜

τ̄
Λευ ἀφανιεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν:— ἐξολο-
θρεύσατε τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν.
καὶ οὐκ ἔσονται ὑμῖν εἰς παγίδας καὶ εἰς σκάν-
δαλα. καὶ εἰς ἥλους ἐν ταῖς πτέρναις ὑμῶν.
καὶ εἰς βολίδας ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν:—

[illegible] ὁ βασι
[illegible]

ἰώβ· τὸ ἀπέχεσθαι ἀπὸ κακῶν, ἐστὶν ἐπιστήμη:—

δαδ μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ:—
Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος·
καὶ μετὰ παρανομούντων:— σκέπασόν
με ἀπὸ συστροφῆς πονηρευομένων:—
Οἱ ἀγαπῶντες τὸν Κ(ύριο)ν, μισεῖτε πονηρά:—

παροι τρίβολοι καὶ παγίδες, ἐν ὁδοῖς σκολιαῖς· ὁ
δὲ φυλάττων τὴν ἑαυτοῦ ψυχὴν, ἀφέ
ξεται ἀπ' αὐτῶν:— υἱὲ μὴ ζηλώσῃς
κακοὺς ἄνδρας· μηδὲ ἐπιθυμήσῃς εἶναι μετ'
αὐτῶν· ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν.
καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ:—
μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει· φίλῳ δὲ ὀρ
γίλῳ μὴ συναυλίζου· μήποτε μάθῃς τῶν
ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχον τῇ σῇ ψυχῇ:—

ἀπ ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος·
ἢ πλεονέκτης· ἢ εἰδωλολάτρης· ἢ λοίδο
ρος ἢ μέθυσος ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ
συνεσθίειν:— παραγγέλλομεν ὑμῖν ἀδελφοί,
στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτά
κτως περιπατοῦντος:—

βασι Βραδεῖς ἀεὶ πρὸς τοῖς καλοῖς ὁμοιοῦσθαι·
ἐπεὶ δὴ νόμος οὗτος φιλίας διὰ ὁμοιότητος προσ
φιλεῖσθαι. τοῖς συναπτομένοις ἐγγίνεσθαι:—
φ εὐχερεῖς τὰς μιμήσεις τῶν κατεγνωσμένων:—

θεο ῥᾷον κακίας μεταλαμβάνειν, ἢ ἀρετῆς μεταδοῦ
ναι· ἐπεὶ καὶ νόσου μετασχεῖν μᾶλλον, ἢ ὑγείαν
χαρίσασθαι:—

ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν.
κακοῖς δ' ὁμιλῶν. καὶ κακὸς πάντως ἔσῃ:—

αὐτοῦ

δεῖ μὴ μόνον ἀπέχεσθαι τῶν κακῶν. ἀλλὰ γὰρ
καὶ τοὺς τὰ τοιαῦτα πράττοντας ἀπο-

Κλημε
φιλ

στρέφεσθαι:— ἡ τῶν κακῶν ἀπαλλαγή, σω-
τηρίας ἐστὶν ἀρχή:— τὸ συνδιατρίβειν
κακοῖς, βλαβερώτατον:—
Βλαβεραὶ αἱ τῶν ἀνοήτων συνουσίαι· καὶ ἀ-
κουσα πολλάκις ἡ ψυχή. τῆς ἐκείνων
φρενοβλαβείας ἀπομάττεται τὰ εἴδω-
λα:— sss — sss — sss — — sss — sss — ss ✱

σκθ
—※—

## περὶ σοφίας καὶ παιδείας. καὶ συνέσεως καὶ φρονήσεως:—

σοφίας
σολο

σοφία ἐν ἐξόδοις ὑμνεῖται· ἐν δὲ πλατεί-
αις παρρησίαν ἄγει· ἐπ' ἄκρων δὲ τειχέ-
ων κηρύσσεται· ἐν δὲ πλατείαις δυναστῶν
παρεδρεύει:— σοφὸς ἐν πράγμασιν, εὑρέ-
της ἀγαθῶν:— ὃς ἐκ χειλέων προφέρει
σοφίαν. ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον:—
τὴν φρόνησιν, γνωρίμην ποίησον σεαυτῷ:—
ἀγαθὸς παῖς πένης καὶ σοφός, ὑπὲρ βασιλέα
πρεσβύτερον καὶ ἄφρονα:—
λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ σοφία· καὶ εὐ-
χερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν:—
πλῆθος σοφῶν, σωτηρία κόσμου:— δός μοι τὴν
τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν:—
Κς αὐτὸς ἔκτισε τὴν σοφίαν· καὶ εἶδε καὶ ἐξηρίθμη-
σεν αὐτήν:—

οὐδὲν ἀγαπᾷ ὁ θεὸς, εἰ μὴ τὸν σοφίᾳ συζῶντα:—
σοφίας οὐ κατισχύει κακία. οὕτως ἐστὶ
κτῆμα ἐπιθυμητὸν ἐν μέσοι:—
τί σοφίας προσηνέστερον τῆς πάντα ἐργαζομένης. οὐκ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς· οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς· ἀλλ' εὐφροσύνην καὶ χαράν:—
ἀνὴρ σοφὸς, τὸν ἑαυτοῦ λαὸν παιδεύσει:—
ἀνὴρ σοφὸς, πλησθήσεται εὐλογίας· καὶ μακαριοῦσιν αὐτὸν, πάντες οἱ ὁρῶντες αὐτόν:—
Βασι σοφία ἐστὶν, ἐπιστήμη θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. καὶ τῶν τούτοις αἰτίων:—
τέλος φιλοσοφίας τῷ φιλοσοφοῦντι. ἡ πρὸς θεὸν ὁμοίωσις κατὰ τὸ δυνατόν:—
Φι μόνος ὁ σοφὸς ἐλεύθερός τε καὶ ἄρχων. κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας:—
πᾶς σοφὸς, θεοῦ φίλος ἐστίν:— ἀπὸ ἑνὸς συνετοῦ, συνοικισθήσεται πόλις:—
οὐκ ἔστιν ἀνὴρ τὰ μάλα πεπαιδευμένης τυχῆς:—

ξζ ε
περὶ τιμῆς. ὅτι χρὴ τιμητικοὺς ἡμᾶς εἶναι:

Λευϊτικόν. ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ· καὶ τιμήσεις, πρόσωπον ἐντίμου:—
Ἰώβ. ἀσεβὴς ὃς οὐκ ἐπαισχύνθη πρόσωπον ἔντιμον. οὐδὲ οἶδεν τιμὴν θέσθαι τούτοις:—
Σειρά μὴ ἀτιμάσῃς ἄνθρωπον ἐν γήρᾳ αὐτοῦ· καὶ γὰρ ἐξ ἡμῶν γηράσκουσιν:— μάλιστα. τίμα μου τὴν κεφαλήν σου:—

ἀπο τῆ τιμῆ ἀλλήλοις προηγούμενοι:—

φιλ τιμὴ τίς ἂν γένοιτο, μὴ προσούσης ἀληθείας· ἢ καὶ ὄνομα καὶ ἔργον ἔχει τίμιον:—

Οὐκ ἔστι δὴ φιλίας ἐν τύχῃ τὸ κύριον. σημεῖον φιλικῶν ἀμφοτέρων· ταῦτα δὲ ἐστί, προσαγορεῦσαι· δεξιώσασθαι· προσιόντας ὑπαναστῆναι· τὸ ἱμάτιον ἀφελέσθαι τῆς κεφαλῆς· ἄχρι τῆς οἰκίας παραπέμψαι· δεομένοις παραστῆναι· σχήματα μὲν ταῦτα τιμῆς· σημεῖα δὲ καὶ προξενία· ἀγάπης καὶ χάριτος:— ··· — ··· — ··· — ··· —

σλα περὶ τάξεως καὶ καταστάσεως:—

σιρα ἐν κρίσει τὰ ἔργα κυ ἀπ᾽ ἀρχῆς· ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ· καὶ τὰς ἀρχὰς αὐτοῦ. εἰς γενεὰς αὐτῶν· οὔτε ἐπείνασαν, οὔτε ἐκοπίασαν· καὶ οὐκ ἐξέλιπον ἀπὸ τῶν ἔργων αὐτῶν· ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἔθλιψεν· καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσι ῥημάτων αὐτοῦ:— τὰ ἔργα κυ, πάντα καλὰ σφόδρα· καὶ πᾶν πρόσταγμα ἐν καιρῷ αὐτοῦ ἔσται· οὐκ ἔστιν εἰπεῖν τί τοῦτο. ἢ εἰς τί τοῦτο· πάντα γὰρ ἐν καιρῷ αὐτῶν ζητηθήσεται:—

ἀπο πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω:—

ἕκαστος ἐν τῇ τάξει αὐτοῦ καὶ ἐν τῷ μέρει τοῖς καιροῖς αὐτοῦ ἔστω:—

θεο μὴ τοίνυν ἔστω τις κεφαλή, μόνος που χεὶρ τυγχάνων ἢ πούς. ἢ ἄλλο τι τῶν ἀτιμοτέρων μερῶν τοῦ σώματος· ἀλλ' ἐν ᾗ ἐκλήθη τάξει ἀδελφοί. ἐν ταύτῃ μενέτω:—

τάξις τὸ πᾶν συνεστήσατο· τάξις συνέχει τὰ οὐράνια καὶ τὰ ἐπίγεια· τάξις ἐν νοητοῖς. τάξις ἐν αἰσθητοῖς πᾶσι· πρόσταγμα γὰρ φησὶν ἔθετο καὶ οὐ παρελεύσεται:— τάξις, μήτηρ ἐστὶ τῆς ἀσφαλείας:—

αἰδώμεθα τὴν τάξιν ἀδελφοὶ καὶ φυλάττωμεν. καὶ ὁ μέν τις ἔστω ἀκοή, ὁ δὲ γλῶσσα· ὁ δὲ χείρ. ὁ δὲ ἄλλο τι τούτων:—

φι Καλὸν οὐδὲν ἐν ἀταξίαι· τάξις δὲ ἀκολουθία καὶ εἱρμός ἐστι. τῶν τε προηγουμένων καὶ ἑπομένων:—

— ∻ — ∻ — ∻ —

σλς Περὶ τελειώσεως· καὶ ὅτι οὐδεὶς ἄρτιος καὶ τελειότατος καὶ ἀνεπιδεὴς ἐν ἀνθρώποις, τὸ σύνολον:—

σιρα Οὐ δύναται πάντα εἶναι ἐν ἀνθρώποις· ὅτι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου· τί φωτεινότερον ἡλίου· καὶ τοῦτο ἐκλείπει:—

ἀπ Πεποίθησιν τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν· οὐχ ὅτι ἀφ' ἑαυτῶν ἱκανοί ἐσμεν λογίσασθαί τι ὡς ἐξ αὐτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ:—

φι ἐν θεῷ μόνῳ τὸ τέλειον

καὶ ἀμετάδοτα· ἐν δὲ ἀνθρώποις, τὸ ἔστι διδακτὸς καὶ αὐτομαθής· διδακτὸς γὰρ ὁ ἄνθρωπος· κἂν γὰρ σοφώτερος ἄλλος ἄλλου, ἀλλ᾽ οὐκ αὐτοδίδακτος οὐδὲ αὐτοφυῶς· καὶ εἰ ἔστι γραμματικώτερος ἕτερος ἑτέρου, οὐκ ἐμφύτως ἀλλὰ μεμαθηκὼς μεμαθημένως :—

## Περὶ τῶν τυφλῶν :—

Λευϊτικόν. Ἀπέναντι τυφλοῦ, οὐ προσθήσεις σκάνδαλον :—

Δευτε. Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ· καὶ ἐρεῖ πᾶς ὁ λαός, γένοιτο :—

## Περὶ τεχνιτῶν καὶ τίνες τέχνας ἐφεύρων :—

Γενέσε. Ἰωβήλ, ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων· καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ, Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν· καὶ Σελλὰ ἔτεκε καὶ αὐτὴ τὸν Θόβελ· καὶ ἦν σφυροκόπος χαλκοῦ καὶ σιδήρου :—

Ἐξό-δου. Ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· ἰδοὺ ἀνακέκλημαι ἐξ ὀνόματος τὸν Βεσελεὴλ ἐκ φυλῆς Ἰούδα· καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον· πνεῦμα συνέσεως καὶ σοφίας καὶ ἐπιστήμης· ἐν παντὶ ἔργῳ διανοεῖσθαι καὶ ἀρχιτεκτονεῖν· καὶ ἐργάζεσθαι τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ πάντα· καὶ ἐγὼ ἔδωκα αὐτὸν καὶ τὸν Ἐλιάβ, ἐκ φυλῆς Δάν· καὶ

παμτὶ συμετῶι καρδίαι. δέδωκα σύμεσιμ.
Καὶ ποιήσουσι πάμτα ὅσα σοι συμέταξα: —

Σιρά^χ ἐμ χειρὶ τεχμιτῶμ. ἔργομ ἐπαιμεθήσεται: —
Τὴμ τέχμημ, φύσεως μίμημα εἶμαι λέγουσιμ οἱ πολλοί: —

☧ Οὐδεὶς ἄμευ ὑποδείγματος. καιμόμ τι τεχμάσασθαι δύμαται· πάσης γὰρ ἐπιστήμης ἡ γμῶσις, ἐκ μιμήσεως προειλημμέμου· εἴτε ζώου· εἴτε ὀρμέου· εἴτε κτήμους· εἴτε φυτοῦ· ὧμ ἁπάμτωμ εἷς δημιουργὸς ἀδίδακτος καὶ ἀκάματος. ὁ μόμος σοφὸς θς καὶ πάσης φύσεως ποιητής: —

Κλη^μ· Παράκειται τῇ ἐπιστήμῃ. ἥ τε ἐμπειρία καὶ ἡ εἴδησις· σύμεσίς τε καὶ μόησις ϗ γμῶσις: — Πᾶσα ἡ τοῦ ἐπιστήμομος πρᾶξις. εὐπραγία· ἡ δὲ τοῦ ἀμεπιστήμομος. κακοπραγία: —

Διδυ^μ· Τέλειομ ἰατρὸμ λέγομεν. οὐ τὸμ θεραπεύομτα πάμτας. ἀλλὰ τὸμ μηδὲμ εἰς ὃ φέρειαμ ἀμηκόμτωμ καὶ θεραπείαμ παραλιπόμ^τ: —
Καὶ στρατηγὸμ ἄριστομ οὐ τὸμ μικῶμτα πάμτας. ἀλλὰ τὸμ μηδὲμ τῶμ εἰς μίκημ συμτειμόμτωμ παραλείψαμτα: — Καὶ φιλόσοφομ ἄριστομ. οὐ πάμτως τὸμ εἰς συμφορὰμ ἐπιτυγχάμομτα. ἀλλὰ τὸμ μηδὲμ ὅσ τεχμικοῦ συλλογισμοῦ ~~παρα~~μελήσαμτα. κἂμ μὴ συμάψῃ: — — — — — ×

σλε π^ε ταπειμοφρομούμτ καὶ πτωχ. τῶ πνι: —

γενέσε ἀποκριθεὶς ἀβραὰμ εἶπεν· νῦν ἠρξά-
μην λαλῆσαι πρὸς τὸν θ(εὸ)ν μου· ἐγὼ δὲ εἰμι:—
ἐξόδ Εἶπεν μωϋσῆς πρὸς κ(ύριο)ν· δέομαι κ(ύρι)ε, οὐχ ἱκα-
νὸς οὐδὲ εὔλαλός εἰμι· ἰσχνόφωνος καὶ βρα-
δύγλωσσος εἰμὶ ἐγώ:—
βασι α´ Εἶπεν δα(υὶ)δ πρὸς σαούλ· ὀπίσω τίνος ἐκ-
πορεύῃ· ὀπίσω τίνος καταδιώκεις· ὀπί-
σω κυνὸς τεθνηκότος· καὶ ὀπίσω ψύλ-
δα(υὶ)δ λου ἑνός:— ἐγὼ εἰμι σκώληξ καὶ οὐκ ἄν-
θρωπος· ὄνειδος ἀν(θρώπ)ων καὶ ἐξουδένημα λαοῦ:—
θυσία τῷ θ(ε)ῷ. πν(εῦμ)α συντετριμμένον:—
ἐν τῇ ταπεινώσει ἡμῶν. ἐμνήσθη ἡμῶν ὁ κ(ύριο)ς:—
παροιμ κ(ύριο)ς ὑπερηφάνοις ἀντιτάσσεται· ταπεινοῖς
δὲ, δίδωσι χάριν:— τοὺς ταπεινόφρο-
νας ἐρείδει δόξῃ κ(ύριο)ς:—
στόμα ταπεινῶν. μελετᾷ σοφίαν:—
ἠσαΐου εὐφραινέσθωσαν οἱ οὐ(ρα)νοὶ καὶ ἀγαλλιάσθω ἡ
γῆ· ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην· ὅτι κ(ύριο)ς
τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν:—
Ἐπὶ τίνα ἐπιβλέψω. ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν
καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λό(γους):—
ἰεζεκι πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι· καὶ ἐν ἀλλάγμα-
ήλ:— σι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν
πυρὶ δοκιμάζεται χρυσός· καὶ ἄν(θρωπ)οι δεκτοὶ
ἐν καμίνῳ ταπεινώσεως:—
σιράχ ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν· καὶ ἔ-
ναντι κυ(ρίου) εὑρήσεις χάριν:— θρόνους ἀρ-
χόντων. καθεῖλεν ὁ κ(ύριο)ς· καὶ ἐφύτευσε ταπεινοὺς
ἀντ' αὐτῶν:—

εὐαν μακάριοι οἱ πτωχοὶ τῷ πνι. ὅτι αὐτῶν ἐστ(ίν): —
κε. οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην
εἰσέλθῃς: — προσῆλθον οἱ μαθηταὶ
τῷ ιυ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ
βασιλείᾳ τῶν οὐνῶν· καὶ προσκαλεσάμενος
ὁ ἰησοῦς παιδίον. ἔστησεν ἐν μέσῳ αὐτῶν
καὶ εἶπεν· ἀμὴν λέγω ὑμῖν· ἐὰν μὴ στραφῆτε
καὶ γένησθε ὡς τὰ παιδία. οὐ μὴ εἰσέλθητε
εἰς τὴν βασιλείαν τῶν οὐνῶν· ὅστις οὖν ταπεινώσει
ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός
ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐνῶν:
ὅταν ποιήσητε τὰ διατεταγμένα ὑμῖν, λέγετε
δοῦλοι ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν
ποιῆσαι πεποιήκαμεν: —

ἀπ. μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς
συναπαγόμενοι: — τοῦτο φρονείσθω ἐν ὑμῖν,
ὃ καὶ ἐν χῳ ιυ· ὃς ἐν μορφῇ θυ ὑπάρχ(ων).
οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ἀλλ'
ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· ἐν ὁμοιώματι
ἀνων γενόμενος καὶ σχήματι
εὑρεθεὶς ὡς ἄνος. ἐταπείνωσεν ἑαυτὸν γενόμενος
ὑπήκοος μέχρι θανάτου θανάτου δὲ
σταυροῦ· διὸ καὶ ὁ θς αὐτὸν ὑπερύψωσεν· καὶ ἐχαρίσατο
αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα: —

ἰακώβου ταπεινώθητε ἐνώπιον κυ. καὶ ὑψώσει ὑμᾶς: —

βασιλείου. ἀμήχανον τὸν μὴ καταδεξάμενον τὸ πρὸς
πάντας ὑποδεέστερον καὶ ἔσχατον. δυνηθῆναί
ποτε ἢ λοιδορούμενον θυμοῦ κρατῆσαι· ἢ ἐν

κομένων διὰ μακροθυμίας περιγένεσθαι
τῶν πειρασμῶν. :—

θεο Ὑψηλὸς ἔστω τοῖς ἔργοις. ταπεινὸς τῷ φρονήματι· καὶ τὴν μὲν ἀρετὴν ἀπρόσιτος. τὴν συντυχίαν δέ, εὐπρόσιτος. πρᾶος. ἀόργητος. συμπαθής· ἥδιστος τὸν λόγον. ἡδίων τὸν τρόπον· ἀγγελικὸς τὸ εἶδος. ἀγγελικὸς πρὸς τὴν διάνοιαν· ἔστι τιμιώτατα γαληνός, ἔστιν ὅτε παιδευτικός. καὶ μηδέτερον τῶν καλῶν τῇ ἀμετρίᾳ λυμαίνεσθαι· ἀλλὰ ποιῆσαι καὶ τὴν ἐπιτίμησιν πατρικήν. καὶ τὴν ἐξουσίαν ἀρχικόν· μήτε τὸ ἁπαλὸν ἔκλυτον. μήτε τὸ αὐστηρὸν τὸ σκληρόν· ἀλλὰ τὸ μὲν ἐπιεικείαν. τὸ δὲ ἐφρόνησιν· καὶ φιλοσοφίαν ἀμφότερα: —

Εἰ βούλει μεγάλα σου δεῖξαι τὰ κατορθώματα, μὴ μέγα φρόνει· μηδὲ νόμιζε ἑαυτῷ εἶναι μεγάλα. καὶ τότε ἔσται μεγάλα· οὐδὲν οὕτως τῷ θεῷ φίλον. ὡς τὸ μετὰ τῶν ἐσχάτων ἑαυτὸν ἀριθμῆσαι: —

Κλη Τοσοῦτον τις μᾶλλον ὀφείλει ταπεινοφρονεῖν. ὅσῳ δοκεῖ μείζων εἶναι: —

ἱλαρίου Ἄρρηκτον ὅπλον. ἡ ταπεινοφροσύνη τυγχάνει: μακάριος ὁ τὸν νοῦν ὑψηλὸν ἔχων. ταπεινὸν δὲ τὸ φρόνημα: — μέγα καὶ ὑψηλὸν ἡ ταπεινοφροσύνη· ὅσοι γὰρ ὑπὸ τοῖς ἑαυτοῖς κατὰ τὸν γνώμαν ἐμμεγαλορρημονοῦσιν. πάσχουσι τὰ πάντα καὶ ἐκεῖνον τὸν πύργον τῆς ἀσεβείας. ὁ τύπον τοῦ διαβόλου: —

σλϛ

## Περὶ ὑγείας καὶ εὐρωστίας :—

Σιρά ὑγεία καὶ εὐεξία. ποθεινοτέρα μετὰ τὴν
πεῖραν τῶν ἐναντίων :— ὑγεία καὶ εὐεξία
βέλτιον παντὸς χρυσίου· καὶ σῶμα εὔρω
στον. ἢ ὄλβος ἀμέτρητος· οὐκ ἔστι πλοῦτος
βελτίων ὑγείας σώματος. ζῶν καὶ ὑγιής,
αἰνέσει τὸν κν :—

Κρείσσων πτωχὸς ὑγιὴς καὶ ἰσχύων τῇ ἕξει.
ἢ πλούσιος μεμαστιγωμένος σῶμα :—

Βασι ὑγεία. ποθεινοτέρα μετὰ τὴν πεῖραν τῶν
ἐναντίων :—

Θεο Κοινὸν δῶρον ἡ ὑγεία :—

Νυσ ὑγείας ἐπιμελούμενος. νόσους ἐξαφανίζει :—

Κλημεν ἄριστον μὲν ὑγιαίνειν ἀεί· καλὸν δὲ καὶ
ἀνασφῆλαι μετὰ τὴν νόσον :—

Φιλ. τὴν εὐεξίαν, μετὰ τῆς κατὰ σῶμα εὐε
ξίας, ἰατρῶν παῖδες ἐδογμάτισαν·
ἡμεῖς δὲ οὐ τὴν τῶν σωματικῶν περιττω
μάτων ἀναιρετικὴν τιθέμεθα μόνην εὐε
ξίαν. ἀλλὰ καὶ τὴν τῶν ψυχοφθόρων πα
θῶν καθαιρετικήν, ὑγείαν ἀληθεστάτην
γνωριζόμενοι :—

σλζ

## Περὶ ὑποκρίσεως καὶ ὑποκριτῶν :—

Βασι λειῶν β Καὶ ὤρθρισεν ὁ Ἀβεσσαλώμ. καὶ ἔστη ἀνὰ χεῖ
ρα τῆς ὁδοῦ καὶ τῆς πύλης. καὶ ἐγένετο
πᾶς ἀνὴρ ᾧ ἐγένετο κρίσις ἐλθεῖν πρὸς
τὸν βασιλέα εἰς κρίσιν. καὶ ἐβόησε πρὸς
αὐτὸν Ἀβεσσαλὼμ καὶ ἔλεγε πρὸς αὐτόν·
ἐκ ποίας πόλεως σὺ εἶ· καὶ εἶπεν ὁ ἀνήρ·

ἐκ μιᾶς φυλῶν ἰηλ ὁ δοῦλός σου. καὶ εἶ
πεν πρὸς αὐτὸν ἀβεσσαλώμ. ἰδοὺ οἱ λό
γοι σου ἀγαθοὶ καὶ εὔκολοι. ϗ ὁ ἀκούων σου
οὐκ ἔστι παρὰ τοῦ βασιλέως. καὶ εἶ
πεν ἀβεσσαλώμ. τίς με καταστήσει κρι
τὴν ἐν τῇ γῇ. καὶ ἐπ' ἐμὲ ἐλεύσεται πᾶς
ἀνήρ. ᾧ ἐὰν ᾖ ἀντιλογία ϗ κρίσις. ϗ
δικαιώσω αὐτόν. καὶ ἐγένετο ἐν τῷ ἐγγί
ζειν ἄνδρα τοῦ προσκυνῆσαι αὐτόν. ϗ
ἐξέτεινε τὴν χεῖρα αὐτοῦ καὶ ἐπελαμ
βάνετο αὐτοῦ ϗ κατεφίλησεν αὐτόν. ϗ
ἐποίησεν ἀβεσσαλὼμ κατὰ τὸ ῥῆμα τοῦτο
παντὶ ἰηλ τοῖς παραγινομένοις εἰς
κρίσιν πρὸς τὸν βασιλέα. καὶ ἰδιοποι
εῖτο ἀβεσσαλὼμ τὴν καρδίαν υἱῶν ἰηλ :—

ΔΑΔ μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν. ϗ
μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπο·
τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλη
σίον αὐτῶν. κακὰ δὲ ἐν ταῖς καρ(δίαις) αὐτῶν :—

Ἡσα Εἶπε κς· ἐγγίζει μοι ὁ λαὸς οὗτος. τοῖς
ΐου· χείλεσιν αὐτῶν τιμῶσί με. ἡ δὲ καρδία
αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ :—

Οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες ϗ οὐ διὰ
κυ· οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες.

Ἱερε ἔστρεψαν ἐπ' ἐμὲ νῶτα αὐτῶν ϗ οὐ πρόσω
πα· καὶ ἐν καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦ
σιν. ἀνάστα σῶσον ἡμᾶς :—

Βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν. δόλια

τὰ ῥήματα τοῦ στόματος αὐτῶν· μετὰ τοῦ
πλησίον αὐτῶν λαλοῦσιν εἰρηνικά. καὶ ἐν
αὐτοῖς ἔχουσι τὴν ἔχθραν· ἐπὶ τούτοις οὐκ ἐ-
πισκέψομαι λέγει κύριος; ἢ ἐν λαῷ τοιούτῳ οὐ
κ ἐκδικήσει ἡ ψυχή μου; :—

ἐννεύων ὀφθαλμῷ. τεκταίνει κακά. καὶ
οὐδεὶς αὐτὸν ἀποστήσει ἀπ' αὐτοῦ· ἀπέναν
τι τῶν ὀφθαλμῶν. γλυκανεῖ τὸ στόμα αὐτοῦ·
καὶ ἐπὶ τῶν λόγων σου θαυμάσει· ὕστε
ρον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ. καὶ ἐν τοῖς
λόγοις σου δώσει σκάνδαλον:—

Θεο Ὁ μὲν ἔντιμος ἐν ἑκάστῳ τὸ καλὸν ἐπὶ τῇ δόξῃ, οὐ
κινούμενος εἰς ἀρετήν· ὁμοῦ τε γὰρ παρῆλ
θεν ἐκεῖνο. καὶ τοῦ καλοῦ ἀπέστη· ὥσπερ
ὁ κερδαλέος ἐν ἑκάστῳ πλέον· τοῦ πλείονος ἂν
μὴ παρῇ τὸ κερδαίνειν παύεται:—

Βασι Ὁρᾷς ἡλίκον κακὸν ἡ ὑπόκρισις; καὶ αὕτη
καρπός ἐστι τοῦ φθόνου· τὸ γὰρ διπλόον
τοῦ ἤθους, ἐκ φθόνου μάλιστα τοῖς ἀνθρώποις
ἐγγίνεται· ὅταν τὸ μῖσος ἐν τῷ βάθει κα
τέχοντες, ἀγάπῃ δεικνύωσι κατακεχρωσμέ
νην τὴν ἐπιφάνειαν. κατὰ τὰς ὑφάλους
πέτρας· αἳ βραχεῖ ὕδατι καλυπτόμεναι.
ἀπρόοπτον κακὸν τοῖς ἀφυλάκτοις γίνονται:—

Δεῖ ἡμᾶς κατὰ τὸν λόγον τῆς παροιμίας μὴ ὑπο
μαμεῖν· τοῦτ' ἔστι, μὴ ἐπιδεικτικῶς πολι
τεύεσθαι· μηδὲ τὸν παρ' αὐτῶν ἔξωθεν ἔπαινον
θηρᾶσθαι· ἀλλὰ καρποὺς εἶναι· τῶν ἀληθινῶν
γεωργῶν τὴν ἐπίδειξιν τῷ θέρει ταμιευομένους:— *

### * σλη Περὶ ὑποδειγμάτων καὶ ὑπογραμμῶν· θείων τε καὶ σωτηρίων, τοῖς ἐθέλουσι ζῆν εὐσεβῶς :—

ματθ Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς· καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς :—

ἰω Εἶπεν ὁ κ(ύριο)ς τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος καὶ ὁ κ(ύριο)ς· καὶ καλῶς ποιεῖτε· εἰμὶ γάρ· Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κ(ύριο)ς καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν· ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν. καὶ ὑμεῖς ποιῆτε :—

ἀπο α πετρ. Χ(ριστὸ)ς ἔπαθεν ὑπὲρ ὑμῶν· ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν· ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ :—

ἀπο παυ Δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα· ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας :—

ἰακω Ὑπόδειγμα λάβετε ἀδελφοὶ τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας· οἳ ἐλάλησαν ὑμῖν τῷ ὀνόματι κ(υρίο)υ :—

θεο Οὐδὲν οὕτως πείθει τοὺς πολλοὺς ὡς πρᾶξις. ἡ σιωπῶσα παραίνεσις :—

### σλθ Περὶ ὕπνου· ὅτι σκιὰν μὲν θανάτου· σημεῖον δὲ ἐναργέστατον ἀναστάσεως φέρει· ἡ πρὸς ὕπνον ἔκστασις καὶ αὖθις ἐκνῆψις :— *

δαυΐδ ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρ
θην ὅτι κς ἀντιλήψεταί μου:—
μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι;:—
ὕπνος ὑγίας, ἐπὶ ἐντέρω μετρίω:—
γλυκὺς ὁ ὕπνος τοῦ δούλου· εἴτε ὀλίγον
εἴτε καὶ πολὺ φάγεται:—

ἀπ πᾶν τὸ φανερούμενον φῶς ἐστί· διὸ λέγει·
ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν
νεκρῶν. καὶ ἐπιφαύσει σοι ὁ χς:—

χο ταύτην εὗρεν ἡ χεὶρ τὴν φωνὴν τοῖς ἀπ' αἰ
ῶνος κεκοιμημένοις. τὴν τοῦ ἀρχαγ
γέλου σάλπιγγα παρεικασμένην:—

φίλ ὁ ὕπνος κατὰ τὸν προφήτην ἔκστασίς
ἐστιν· οὐχὶ κατὰ μανίαν· ἀλλὰ, κατὰ
τὴν τῶν αἰσθήσεων ὕφεσιν. καὶ τὴν ἀνα
χώρησιν τοῦ λογισμοῦ:—

Εἰκότως μεμίμημένον θανάτου· σκιὰν δὲ
καὶ ὑπογραμμὸν τῆς ἀληθοῦς ἐσομένης
ἀναιρέσεως, τὸν ὕπνον οἱ τἀληθῆ πε
φρονηκότες ἀπεφήναντο· ἑκατέρων
γὰρ ἐναργεῖς φέρει τὰς εἰκόνας· με
θιᾶσι γὰρ καὶ παριᾶσι τὸν αὐτὸν μὲν ἐξ ὁλοκλήρ:—

—×— στμ πε ὑπακοῆς καὶ ὑποταγῆς:—

βασιλειῶν Εἶπε σαμουὴλ πρὸς σαούλ· εἰ θελη
τὸν τῷ κῷ ὁλοκαυτώματα καὶ θυσίαι·
ὡς τὸ ἀκοῦσαι φωνῆς κυ. ἰδοὺ ὑπακοὴ
ὑπὲρ θυσίαν· καὶ ἡ ἐπακρόασις, ὑπὲρ στέ
αρ κριῶν:— γνώριζε δικαίοις καὶ προσθή

σιρα σει τοῦ δέχεσθαι:— ἐὰν ἀγαπήσῃς ἀκού
ειν, ἐκδέξῃ σύνεσιν· καὶ ἐὰν ἀγαπή
σῃς ἀκούειν, σοφὸς ἔσῃ:— μακάριος
ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων:—

÷ ὑπακο
ύειν.

ἀπο
πετρ· ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει
διὰ τὸν κν· εἴτε βασιλεῖ ὡς ὑπερέ
χοντι· εἴτε ἡγεμόσιν. ὡς δι' αὐτοῦ πεμ
πομένοις· εἰς ἐκδίκησιν μὲν κακο
ποιῶν. ἔπαινον δὲ ἀγαθοποιῶν:—
εὐεργεσίαι τοῖς ὑποδεεστέροις καὶ ἀρ
χὴν ἑαυτῶν μὴ ἐπιστᾶσαν, τὸ δουλεύειν
τοῖς καθεστηκόσιν ἄρχουσιν:—
ἀγαθὸς ὁ τῆς εὐπειθείας μισθός:—

θεο μή τις ἐμὸν ἀκινδύνως ἑστῶσθαι· ἀρ
χὴν ἐπικινδύνως ἐπιθυμείτω· μὴ
δὲ ὁ τῆς ὑποταγῆς νόμος καταφρονείσθω,
ἢ καὶ τὰ ἐπίγεια συνέχει καὶ τὰ οὐράνια·
μὴ δὲ ποιῶμεν ἀναρχίαν τὴν πολυαρχίαν:—
ὑποτασσώμεθα καὶ θεῷ, καὶ ἀλλήλοις· καὶ
τοῖς ἐπὶ γῆς ἄρχουσιν· θεῷ διὰ πάντα·
διὰ τὴν φιλαδελφίαν ἀλλήλοις· διὰ
τάξιν τοῖς ἄρχουσι· καὶ τοσοῦτον μᾶλ
λον, ὅσῳ περ ἂν ὦσιν ἡμερώτεροι:—

διαδο ὑπακοῆς, οὐδὲν ταπεινότερον· ἐκ καρ
δίας γὰρ συντετριμμένης. ὑπακοὴ τίκτεται

σημ περὶ ὑβριστῶν:—

παροι
μιῶν· ἐκ στόματος ἄφρονος, ἐξέρχεται βακτη
ρία ὕβρεως:— ὀφθαλμὸς ὑβριστοῦ,

γλῶσσα ἄδικος· χεῖρας ἐκχέουσαι αἷ
μα δίκαιον· καὶ καρδία τεκταινομένη
λογισμοῖς κακοῖς· καὶ πόδας ἐπισπεύδον
τας κακοποιεῖν· οὐ θέλει ὁ θεὸς κύριος.
ἐκκαίει κακίαν:

σιράχ μὴ ἐξαμαρτήσῃς ἀπὸ προσώπου κυρίου· ἵνα
μὴ ἐκκαθῇ σε ὡς ἐν ὑδρίᾳ τοῦ στόματός σου:
μηδὲν πράττε ἐν ἔργοις ὕβρεως:

ευαγ πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰ
κῇ· ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ
ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν
εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέεν

βασι ναν τοῦ πυρός: μὴ γίνου πλήκτης,
κακοῦ ὀργάνου· μὴ δὲ πονηροῦ δαίμονος,
παμπόνηρος ἐκ τῆς· ὑβριστικός; ἐπιστρέ
ψῃς ἐπὶ τὸ κακόν· μὴ διδάσκ ἀρχεῖ χεῖ
ρι τοῖς ἐχθροῖς· μὴ δὲ ὅμοιος ἔσο. ταῦτο ζη
μιώσῃς· πανηγυρόν ἡ ὕβρις· φρόνει τὴν μνήμη:

θεο μακρὰ εἰ μὲν ἔσται συντριβή· τὰ πλησίασει
δὲ ἀδοξία· καὶ γὰρ ὑπερηφάνοις ἀντι
τάσσεται· ταπεινοῖς δὲ, δίδωσι χάριν· καὶ
ἀντὶ σαρκὸς τὰ ἁμαρτίας τοῖς ἐν αὐτοῖς πάν
τα δίκαιος ἀντιμέτρων:

σμη π(ερὶ) ὑπολήψεως πονηρᾶς:

σιράχ πολλοὺς ἐπλάνησεν ἡ ὑπόληψις αὐτῶν:

π(ερὶ) ὑπισχνουμένου μὲν, μὴ ἐπικου
σμθ ρεῖν, μὴ πληρουντος δέ, τὰς οἰκείας ὑποσχ(έσεις):

παροι κρεῖσσον ἐναρχόμενος βοηθεῖν. καρδία

τοῦ ἐφελκομένου καὶ εἰς ἐλπίδας ἄγοντος :— φι τοῦ μὴ προθύμως ὠφελεῖν, ἄμεινον τὸ μηδὲ ὅλως ὑπισχνεῖσθαι· τῷ μὲν γὰρ οὐδεμία μέμψις ἕπεται· τῷ δὲ παρὰ μὲν τῶν ἀνθρώπων ἄχθος· παρὰ δὲ τῶν δυνατωτέρων. μετὰ μίσους καὶ κολάσεως παραίτιος :—

## πε̅ τῶν ὑπούλως πρός τινα δια σημ κειμένων :—

γενέσεως ἐνεκότει Ἠσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας. ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ. εἶπε δὲ Ἠσαῦ ἐν τῇ διανοίᾳ· ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ θανάτου τοῦ πρς μου. ἵνα ἀποκτάνω τὸν ἀδελφόν μου :—

βασιλειῶν α' ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν Δα̅δ ἐκ πασῶν πόλεων ἰη̅λ, ἐν τυμπάνοις ϗ ἐν χαρμοσύνῃ καὶ ἐν κυμβάλοις. καὶ ἐξῆρχον αἱ χορεύουσαι ϗ ἔλεγον· ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ. καὶ Δα̅δ ἐν μυριάσιν αὐτοῦ· καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαοὺλ περὶ τοῦ λόγου τούτου. ϗ εἶπεν· ἔδωκαν τῷ Δα̅δ τὰς μυριάδας. ϗ ἐμοὶ ἔδωκαν τὰς χιλιάδας. καὶ τί αὐτῷ πλὴν ἡ βασιλεία· καὶ ἦν Σαοὺλ ὑποβλεπόμενος τὸν Δα̅δ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα :—

εὐαγ συμβούλιον ἔλαβον κατὰ τοῦ κυ ἡμῶν
ἰησοῦ οἱ φαρισαῖοι. ὅπως αὐτὸν παγι-
δεύσωσιν ἐν λόγῳ· καὶ ἀποστέλλουσιν
αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν:—

βασι λανθάνουσαν πονηρίαν. τῆς προκεκη-
ρυγμένης ἀμαυροτέραν:—

διον ἀλεξαν τὴν προφανῆ κακίαν φυλάξασθαι ῥᾴδιον·
τὴν δὲ ἐγκεκρυμμένην ἐκτρέπεσθαι.
δύσκολον::—

× σμε περὶ ὑδροποτούντων:—

ἰεζεκιηλ πάντα τὰ πίνοντα ὕδωρ. ἐδόθησαν
εἰς θάνατον· καὶ τὰ ἐκλεκτὰ τοῦ
λιβάνου πάντα τὰ πίνοντα ὕδωρ, καὶ
αὐτοὶ κατέβησαν μετ' αὐτοῦ εἰς ᾅδην:—

ἀπο οἶνον ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου
καὶ τὰς πυκνάς σου ἀσθενείας:—

βασι οὐδεὶς ἐκραιπάλησεν ἀπὸ ὕδατος.
οὐδενὸς ὀδύνη ἐπῆλθε τῇ κεφαλῇ ὕδατι
καρωθείσῃ. οὐδεὶς ἀλλοτρίων πο-
δῶν ἐδεήθη ὑδροποσίᾳ συζῶν:—

θεο ἐκ τ ἐπ. θέλεις πιεῖν; κρύει σοι ὕδωρ κρα-
τῆρσι ῥοαῖς· ποτὸν μέθης ἄποιον
ἀκμήματον γάνισμα:—

× σμϛ περὶ ὕπνου καὶ ἀϋπνίας:—

ἐκκλη μέριμνα. ἀγρυπνίας ἀπαιτήσει νυσταγμόν:—

σιρα θυγάτηρ. πατρὶ ἀπόκρυφος ἀγρυπνία· καὶ
ἡ μέριμνα αὐτῆς, ἀφιστᾷ ὕπνον:—

παροι ἐνδύσεται διερρηγμένα καὶ ῥακώδη.—

Βασι ἀχαριστεῖ ἅμε τῶι ἀλκοισίωσ ἡμῶν
διὰ τοῦ ὕπνου τῆσ συνεχείασ τῶν π-
όνων λυομεντι· καὶ ἐκ μικρᾶσ ἀναπαύ-
σεωσ. πάλιν πρὸσ τὴν ἀκμὴν τῆσ
δυνάμεωσ ἐπανάγονται:—

ὕπνοσ οὐδέν ἐστιν, ἢ θάνατοσ πρόσ-
καιροσ καὶ ἐφήμεροσ τελευτή:—

Κοινὸν σώματοσ καὶ ψυχῆσ πάθοσ ὕπνοσ:—

× Περὶ ὑετοῦ καὶ βροχῆσ:— σμζ

ἰωβ· τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν· τὸν ἀπο-
στέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν:—

δαδ πάντα ὅσα ἠθέλησεν ὁ κσ ἐποίησεν
ἐν τῶι οὐρανῶι καὶ ἐν τῇ γῇ· ἐν
ταῖσ θαλάσσαισ καὶ ἐν πάσαισ ταῖσ
ἀβύσσοισ· ἀνάγων νεφέλασ ἐξ ἐσχάτου
τῆσ γῆσ· ἀστραπὰσ εἰσ ὑετὸν ἐποί-
ησεν· ὁ ἐξάγων ἀνέμουσ ἐκ θησαυρῶν:—
πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα:—

ἀμὼσ ὁ προσκαλούμενοσ τὸ ὕδωρ τῆσ θα-
λάσσησ. καὶ ἐκχέων αὐτὸ ἐπὶ πᾶν τὸ
πρόσωπον τῆσ γῆσ· κσ ὁ θσ ὁ παν-
τοκράτωρ ὄνομα αὐτοῦ:—

× Περὶ ὑπονοίασ· ὅτι χρὴ φεύγειν σμη
τὰσ ἀφορμάσ, τὰσ τικτούσασ
ὑπονοίασ κακάσ:—

ἀπο μὴ δῶτε ἀφορμὴν τοῖσ θέλουσιν
[illegible] ἀφορμήν:— μὴ δῶσιν ἡμῶν κατὰ
ιηα τοῦ πλησίον ἔχωντι· μὴ ἀφορμὰσ δίδοτε

τοῖς ἔθνεσιν· ἵνα μὴ δι' ὀλίγους ἀνθρώπους
τὸ ἔνθεον πλῆθος βλασφημεῖται:

φι Φύλαττε τὰς διανομὰς κἂν ἐνδεεῖς ὦσιν·
οἱ γὰρ πολλοὶ τὴν μὲν ἀρχὴν θείαν ἀγνοοῦ
σι· πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν:

σημ

Περὶ ὑπερηφάνων καὶ σοβαρῶν καὶ ἀλα
ζόνων καὶ κενοδόξων

λευιτικοῦ. Συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν:
ἰώβ. Φόβος κυρίου ἐπιπεσεῖται ὑμῖν· καὶ ἀπο
βήσεται ὑμῶν τὸ γαυρίαμα ἴσα σποδῷ·
τὸ δὲ σῶμα πήλινον:

Πάντα ὑβριστὴν ταπείνωσον· ὑπερήφανον
δὲ σβέσον· σῆψον ἀσεβεῖς παραχρῆμα·
τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον:

Δαδ Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ. ἐμ
πυρίζεται ὁ πτωχός: ὀφθαλμοὺς ὑπε
ρηφάνων ταπεινώσεις:
Ὑψώθητι ὁ κρίνων τὴν γῆν ἀπόδος ἀνταπόδοσιν:

παροιμ Ἀκάθαρτος παρὰ θεῷ πᾶς ὑψηλοκάρδιος:
Θρασὺς καὶ αὐθάδης ἀλαζών, λοιμὸς καλεῖται:
Εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔ
χοντες· καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυ
τοὺς ἐν πολλῷ πλούτῳ:

ἀβδιοῦ. Ἐὰν μετεωρισθῇς ὡς ἀετὸς καὶ ἀνὰ μέσον
τῶν ἄστρων θῇς νοσσιάν σου· ἐκεῖθεν
ἠσαΐου κατάξω σε λέγει κς: Ὕβριν ἀνόμων·
ἀπολῶ ὑπερηφάνους:

ἱερεμι
ου Ἠφανίσθησαν καὶ πετεινά· ὅτι εἶπαν οὐκ ὄ

σο τῆς ἀκοῆς ὁ δόλος ἡμῶν :— Κενοδοξία
ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον. καὶ διὰ
τοῦτο σύντομον τὸ τέλος αὐτῶν ἐπενοήθη :—

σιρά(χ) μὴ ἐξύψου σεαυτόν· ἵνα μὴ πέσῃς καὶ ἐπαγά-
γῃς τῇ ψυχῇ σου ἀτιμίαν :—
μισητὴ ἔναντι κυ καὶ ἀνθρώπων ἡ ὑπερηφανία :—
ἐνδεδυμμέναι ὑπερήφανοι. τὰ [illegible] :—

εὐαγ ὅστις ὑψώσει ἑαυτὸν ταπεινωθήσεται :—
τὸ ἐν ἀνθρώποις ὑψηλόν, βδέλυγμα
αὐτ ἐνώπιον τοῦ θεοῦ :— μὴ γινώμεθα κενό-
δοξοι. ἀλλήλους προκαλούμενοι ἀλλή-
θεο λοις φθονοῦντες :— μὴ ἐπαίρου θνητὸς ὤν.
ἵνα μὴ μεῖζον κακὸν σχῇς :—
ὦ ὅτι δεινόν τι τὸ οἴεσθαι τοῦ εἶναι τὸ πλεῖον
ἀφαιρεῖται :— μάλα τοῖς ἀνθρώποις ἡ κενο-
δοξία πρὸς ἀρετὴν ἐμπόδιον :—
ῥᾷστον ἑαυτὸν ἀπατᾶν. καὶ οἴεσθαι εἶναί τι
οὐδὲν ὄντα. ὑπὸ τῆς κενῆς δόξης φυσώμενον :—

νυσ ἡ ἀλαζονεία καὶ ἡ ἀπόνοια τῆς τοῦ ὑπερηφά-
νου. τὸ συγγενὲς πρὸς τὴν [illegible] ἔχει :—

κυρ [illegible] πρὸς ἐστὶν ἐπὶ τῶν ἀλαζόνων
ὁμοίως. καὶ πρὸς τὸν ἀέρα φέρεται [illegible]
χαμαιπετέστερον [illegible] ἐχόμενος. καὶ τὸ
μέτριόν τε καὶ ταπεινὸν ἀεὶ [illegible] φράζειν :— ÷ φρόνημα

εὐαγρί-
ου δεινὸν ἐστὶ μάταιον φρονεῖν. [illegible]
-τομπεσαι :— ἐν παντὶ τὸ οἴεσθαι τοῦ εἶναι
ἐμποδίζει :— μὴ κενὴ τῷ ἀρετῆς. μόνος
ὑπερήφανος :— μάλκος ἄνδρος. φιλόδοξος
ψυχή :—

ὑπερήφανος τύχη, πᾶν δὲ χεῖρον μιαρῶν:—

φι Οἴησις, προκοπῆς ἐκκοπή:— Οἴησις, ἀκάθαρτον φυτόν:—

* ση

Περὶ ὑπομονῆς καὶ μακροθυμίας:—

Βασιλειῶν Β Εἶπεν Δαδ· ἄφετε αὐτὸν καταρᾶσθαι ὅτι εἶπεν αὐτῷ Κς· ὅπως ἴδοι Κς ἐν τῇ ταπεινώσει μου· καὶ ἐπιστρέψει μοι ἀγαθὰ, ἀντὶ τῆς κατάρας αὐτοῦ:—

Δαδ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν:— ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου. καὶ ὑπόμεινον τὸν Κν:—
ὑπόμεινον τὸν Κν καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ:—
ὑπομενῶ τὸ ὄνομά σου. ὅτι χρηστὸν ἔναντι:—

Παροι. ἀνὴρ φρόνιμος πολλὰ ὑποφέρει:— μακρόθυμος ἀνήρ. πολλὰ ὑποφέρει:—
÷ πολὺς ἐν φρονήσει:—
μακρόθυμος. κατασβέσει κρίσεις:—

Μιχα ὀργὴν Κυ ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ:—

Ναούμ. χρηστὸς Κς τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως:—

Ἀμβακούμ ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν· ὅτι ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ:—

Σοφονί ὑπόμεινόν με λέγει Κς, ἐν ἡμέρᾳ ἀναστάσεώς μου εἰς μαρτύριον· διότι τὸ κρίμα μου [illegible] εἰς συναγωγὰς ἐθνῶν:—
Χρόνον μικρὸν ἐγκατέλιπόν σε, καὶ μετὰ ἐλέους μεγάλου ἐλεήσω σε:—

Σιρα ἕως καιροῦ ἀνθέξεται μακρόθυμος. καὶ ὕστερον ἀναδώσει αὐτῷ εὐφροσύνη· καὶ χείλη πολλῶν. ἐκδιηγήσονται σύνεσιν αὐτοῦ:—

τέκνον· ἐὰν προσέρχῃ δουλεύειν τῷ κῳ.
ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν·
εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον·
κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς· ἵνα αὐ
ξηθῇς ἐπ' ἐσχάτων σου :
ἐν μακροθυμίαι φθέγγου ἀπόκρισιν· οὐ
μὴ καθυστερήσει ὑπομονὴ εὐσεβοῦς :
εὐαγ ὁ ὑπομείνας εἰς τέλος. οὗτος σωθήσεται :
ἐν τῇ ὑπομονῇ ὑμῶν. κτήσασθε τὰς ψυχ :
πράξεων ἐλιθοβόλουν τὸν στέφανον. ἐπικαλούμε
νον καὶ λέγοντα· κε ἰυ χε. δέξαι τὸ πνα
μου· θεὶς δὲ τὰ γόνατα ἔκραξε φω
νῇ μεγάλῃ· κε μὴ στήσῃς αὐτοῖς τὴν ἁ
μαρτίαν ταύτην· καὶ τοῦτο εἰπὼν ἐκοιμήθη :
πέτ ποῖον ὑμῖν κλέος. εἰ ἁμαρτάνοντες
κολαφιζόμενοι ὑπομένετε· ἀλλ' εἰ ἀγα
θοποιοῦντες καὶ πάσχοντες ὑπομένετε
τοῦτο χάρις παρὰ θεῷ· ὃς ἁμαρτίαν οὐ
κ ἐποίησεν. οὐδ' εὑρέθη δόλος ἐν τῷ στό
ματι αὐτοῦ· ὃς λοιδορούμενος οὐκ ἀντελοι
δόρει· πάσχων οὐκ ἠπείλει :
παύ πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν.
καὶ συζήσομεν· εἰ ὑπομείνωμεν. καὶ
συμβασιλεύσομεν· εἰ ἀρνησόμεθα. κἀ
κεῖνος ἀρνήσεται ἡμᾶς :
ἰακώ πᾶσαν χαρὰν ἡγήσασθε ἀδελφοί μου. ὅ
ταν πειρασμοῖς περιπέσητε ποικίλοις·
γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς

πίστεως κατεργάζεται ὑπομονήν. ἡ
δὲ ὑπομονή, τέλειον ἔργον ἐχέτω· ἵνα
ἦτε τέλειοι καὶ ὁλόκληροι ἐν μηδενὶ
λειπόμενοι:~

μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν.
ὅτι δόκιμος γενόμενος. λήψεται τὸν
στέφανον τῆς ζωῆς. ὃν ἐπηγγείλατο
κύριος τοῖς ἀγαπῶσιν αὐτόν:~

ἀπ πέτρου

ποῖον ὑμῖν κλέος, εἰ ἁμαρτάνοντες καὶ
κολαφιζόμενοι ὑπομενεῖτε· ἀλλ' εἰ ἀγα-
θοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε.
τοῦτο χάρις παρὰ θεῷ:~

βασι

στῆκε ἑδραῖος ὡς ἄκμων τυπτόμενος.
μεγάλου ἐστὶν ἀθλητοῦ, δέρεσθαι καὶ νι-
κᾶν· μάλιστα δὲ ἕνεκεν θεοῦ, πάντα
ὑπομένειν δεῖ:~ δὴ πλέον ἔχειν θέλη.

θεο

ἐν τῷ πλέον φέρειν ἀτιμαζόμενον:~
ἀγαθὸν χρηστότητι νικᾶν θρασύτητα·
καὶ εὐμενίους ποιεῖν τοὺς ἀδικοῦντας.
οἷς καρτεροῦμεν πάσχοντες:~
οὐδὲν οὕτως νικᾷ τὸν ἀδικοῦντα. ὡς προ-
θυμία τοῦ πάσχοντος:~
ἀγνοοῦσι καὶ οἱ τῷ κόσμῳ προσηκόντες:~
οὐδὲν οὕτως εὐδοκίμους ποιεῖ, ὡς τὸ ὕβρι
ζαμένους φέρειν:~
μακρόθυμος ἀνήρ. καρδίας ἰατρός:~

νει

τὴν ὑπομονὴν ἄσκει. δι' ἧς ἐργαζομένη γυμνα-
σθέντας τοὺς μάρτυρας. καρτέρει

τὰς θλίψεις· ἐν αὐταῖς γὰρ ἀθροίζεται
ηει ὁ στέφανος:— Μὴ ἀποκάμῃς θλιβό-
μενος ἐν τοῖς πειρασμοῖς· ἀλλ' ἀναμέ-
νων τὴν κουφίαν καὶ τὴν ἀγαθότητα τοῦ
δεσπότου:— × … — … — … ×

## περὶ φιλαρχίας:— σημ

βασι λειῶν ἀναστὰς Ἀβεσσαλὼμ ἐπορεύθη εἰς Χε-
βρών· καὶ ἀπέστειλε κατασκόπους ἐν
πάσαις φυλαῖς Ἰσραήλ· ἐν τῷ ἀκοῦ-
σαι ὑμᾶς τὴν φωνὴν τῆς κερατίνης
καὶ ἐρεῖτε· βεβασίλευκεν Ἀβεσσαλὼμ ἐν
Χεβρών· καὶ ἐγένετο σύστρεμμα
ἰσχυρόν· καὶ ὁ λαὸς ὁ πορευόμενος πο-
λὺς μετὰ Ἀβεσσαλώμ:—
παρ μεθ' ὕβρεως ἐπὶ σκόπου δαπανεῖ ζωμένη ἐν
προσώποις. ἐν τοῖς περιβάλλουσιν οὐκ ἔρχεται
σιρα θήσεται:— μὴ ζήτει παρὰ κυρίου
ἡγεμονίαν· μηδὲ παρὰ βασιλέως κα-
θέδραν δόξης· καιρὸς ὑπὲρ σοῦ μὴ ἄρχε:—

## περὶ φθόνου καὶ ζήλου:— σημαι

ε ξεν ἐπανέστη Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρὼν καὶ
Αὐνάν. καὶ ἀνέστησαν ἔναντι Μωυσῆ· καὶ
ἄνδρες τῶν υἱῶν Ἰσραὴλ πεντήκοντα καὶ
διακόσιοι ἀρχηγοὶ σύγκλητοι βουλῆς· καὶ
ἄνδρες ὀνομαστοὶ συνέστησαν ἐπὶ Μωυσῆν
καὶ Ἀαρών. καὶ εἶπαν πρὸς αὐτούς· ἐχέτω
ὑμῖν· ὅτι πᾶσα ἡ συναγωγή. πάντες ἅγιοι·
καὶ ἐν αὐτοῖς κύριος· καὶ διατί κατανίστασθε

παροι ἐπὶ τὴν συναγωγὴν κυ: — μὴ συνδείπνει ἀνδρὶ βασκάνῳ· μηδὲ ἐπιθυμήσῃς τῶν βρωμάτων αὐτοῦ: —

σοφίας βασκανία φαυλότητος ἀμαυροῖ τὰ καλά: —

σολο ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ᾽ ἄρτοις· καὶ ἐλλιπεὶς ἐπὶ τραπέζης αὐτοῦ: —

δόσις βασκάνου ἐκτήκει ὀφθαλμούς: —

ἀθαν ἀμαθεῖ, περὶ οὐδενὸς ἂν γένοιτο φθόνος: —

βασι φθόνου γὰρ πάθος, οὐδὲν ὀλεθριώτερον ψυχαῖς ἀνθρώπων ἐμφύεται· ὃς ἐλάχιστα λυπῶν τοὺς ἔξωθεν· πρῶτον κακὸν καὶ οἰκεῖον ἐστὶ τῷ κεκτημένῳ· ὥσπερ γὰρ ὁ ἰὸς τὸν σίδηρον. οὕτως ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν ἐξαναλίσκει: —

ὥσπερ τὰς ἐχίδνας φασὶ τὴν ἀποκυήσασαν αὐτὰς γαστέρα διεσθιούσας ἀπογεννᾶσθαι, οὕτω καὶ ὁ φθόνος τὴν ὠδίνουσαν ψυχὴν πέφυκε δαπανᾶν: —

θεο χάρις φθονεῖσθαι· τὸ φθονεῖν δ᾽ αἶσχος μέγα: — ἀπαιτεῖ οὐ τῶν πολλῶν μόνον: — ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ὁ φθόνος· ἡ δαπάνη τῶν ἐχόντων· ὁ τῶν πασχόντων ἰός· τὸ μόνον τῶν παθῶν ἀδικώτατόν τε ἅμα καὶ δικαιότατον· τὸ μὲν ὅτι πᾶσι ἐνοχλεῖ τοῖς καλοῖς· τὸ δὲ ὅτι τήκει τοὺς ἔχοντας: —

φι τὰ καλὰ κἂν φθόνωσι πρὸς ὀλίγον ἐ-
πισκιασθῆναι χρόνον, ἐπὶ καιροῦ ἰμ- ÷ μέντοι
θεῖς αὖθις ἀναλάμπει

σμζ

## ΠΕΡΙ ΦΟΝΕΩΝ :—

Γενέ Εἶπεν Κάϊν πρὸς τὸν ἀδελφὸν αὐτοῦ·
διέλθωμεν δὴ εἰς τὸ πεδίον. Καὶ ἐ-
γένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πε-
δίῳ. καὶ ἀνέστη Κάϊν ἐπὶ τὸν ἀδελ-
φὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν :—
Εἶπεν ὁ θεὸς πρὸς Νῶε· τὸ ὑμέτερον αἷμα
τῶν ψυχῶν ὑμῶν, ἐκζητήσω ἐκ χει-
ρὸς πάντων τῶν θηρίων· καὶ ἐκ
χειρὸς παντὸς ἀδελφοῦ. ἐκζητή-
σω τὴν ψυχὴν τοῦ ἀνου· ὁ ἐκχέων
αἷμα ἀνου, ἀντὶ τοῦ αἵματος αὐτοῦ
ἐκχυθήσεται· ὅτι ἐν εἰκόνι θεοῦ ἐποί-
ησα τὸν ἄνθρωπον :—
τῆς ἐξοδ Ἐὰν πατάξῃ τίς τινα καὶ ἀποθάνῃ.
θανάτῳ θανατούσθω :—
Δευτερονο. Ἐὰν γένηται ἄνος μισῶν τὸν πλησίον·
καὶ ἐνεδρεύσῃ αὐτόν· καὶ ἐπαναστῇ
ἐπ' αὐτὸν καὶ πατάξῃ αὐτοῦ ψυχὴν καὶ
ἀποθάνῃ, οὐ φείσεται ὁ ὀφθαλμός σου
ἐπ' αὐτόν· καὶ καθαριεῖς τὸ αἷμα
παροιμ τὸ ἀναίτιον :— Οἱ φόνου μετέ-
χοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά :—
Ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμε-
νος, φυγὰς ἔσται καὶ οὐκ ἐν ἀσφαλείᾳ :—
νος φυγὰς ἔσται καὶ οὐκ ἐν ἀσφαλείᾳ :—

σμδ Περὶ φιλομέμπτων καὶ φιλεγκλημόνων
καὶ μεμψιμοίρων. καὶ φιλοδικασιῶν:—

παροιμ Ὁ ἐγκαλῶν ἀδίκως, οὐ διαφεύξεται:—
μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην. μή τι
ἐργάσηται εἰς σὲ κακόν:—
Ὥσπερ ὁ κρατῶν κέρκου κυνός, οὕτως
ὁ προεστὼς ἀλλοτρίας κρίσεως:—
σιράχ Περὶ πράγματος οὗ οὐκ ἔστι σοι χρεία, μὴ
ἔριζε· καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ
συνέδρευε:— διώκων ἐργολαβείας,
ἐμπεσεῖται εἰς κρίσεις:—
ἀπ Ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν, ὅτι κρίματα
ἰακώ ἔχετε μεθ' ἑαυτῶν:—
βου. Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι:—
θεο [illegible] εὐσεβεῖς ἐξ ἔθους. τοῦ κατὰ
γνῶσιν κἂν ἀμελοῦν εὐσέβειαν:—
Οἱ τὰ ἡμέτερα περισκοποῦντες. καὶ βραδεῖς
τῶν ἰδίων κριταί. ταχεῖς δὲ τῶν ἀλλοτρί-
ων ἐξετασταί. καὶ ῥᾷον ἂν ἄλλοις τὰ μέγιστα
ἢ τὰ βραχύτατα ἡμῖν συγχωρήσαιεν. κἂν
ὦσιν ἀμαθέστεροι· θᾶττον ἂν ἡμῶν ἀσθενείᾳ
ἂν καταγνοῖεν, ἢ μετρίᾳ τῇ ἑαυτῶν ἀγνοίᾳ:—

σμε Περὶ φήμης. ὅτι οὐ χρὴ ἐπὶ πάσῃ φήμῃ τα-
ράττεσθαι:—

παροιμ Φήμη ἀγαθή, πιαίνει ὀστᾶ:— εἰς πάντας
τοὺς λόγους οὓς λαλήσουσι, μὴ θῇς καρ-
σιράχ δίαν σου:— Ὁ ταχὺ ἐμπιστεύων, κοῦ-
ἀπ ἰω φος καρδίᾳ:— μὴ παντὶ πνεύματι πίστευε:—

θεοφι ἄπιστον ἡ κουφότης καὶ θυμομανίας συμβαί-
νοντος:— ὁ μισθηρὸν αἱ πρῶται φιλίαι
χρόνοι μόνως ἐνσφραγιζόμεναι:—
φιλοῦσιν οἱ ἄνοι λόγοις πλάττειν· ἡνίκα
δὲ προφάσεως ἐπιλάβωνται, μείζονας
περὶ ὧν μικρολογοῦνται. φήμας ἐξάπτουσιν:—

— ;;; — ;;; — ;;; — ;;; — ;;; — ;; ⁎

πε φλυάρων:— σμϛ

παροιμ. ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις αὐτοῦ, γίνω-
σκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ:—
ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφρο-
ἐκκλησιαστοῦ· σύνη αὐτῷ ἐστιν:— χείλη ἄφρονος
καταποντίσουσιν αὐτόν· ἀρχὴ λόγων στόμα-
τος αὐτοῦ ἀφροσύνη· καὶ ἐσχάτη στόματος
αὐτοῦ περιφέρεια πονηρά:—
ἄφρων πληθυνεῖ λόγους αὐτοῦ:— ἄφρων
ἐκ περισσεύματος λαλεῖ· καί γε τοῦτο
ματαιότης:— φωνὴ ἄφρονος ἐν πλή-
σιραχ θει λόγων:— στόμα ἀφρόνων ποιεῖ ἀκατα-
εὐαγγε στασίας:— πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν
λαλήσωσιν οἱ ἄνοι, δώσουσι λόγον περὶ αὐτοῦ
ἐν ἡμέρᾳ κρίσεως:—
φι Βέλτιον τῶν μὴ καθηκόντων λόγων ἡ ἀ-
κίνδυνος ἡσυχία:— χαλεπὸν τύχης
τροπὴν εὐγενῶς φέρειν:— θᾶττον ἄν τις
χειμάρρου φορὰν ἐπισχοίη, ἢ τροπὴν τύχης ῥέ-
ουσαν ἀκατασχέτως:— λόγος γὰρ ἔργου φα-
σὶ σκιά· σκιᾶς δὲ φαντασίας. πῶς οὐ τὸ ἔργον
ἀμαυρότερον:—

σμγ

## περὶ φιλανθρωπίας θυ̅ καὶ ἀγαθότητος καὶ μακροθυμίας :—

τῆς ἐξόδ·

Κς̅ ὁ θς̅ σου. οἰκτίρμων καὶ ἐλεήμων· μακρόθυμος καὶ πολυέλεος. καὶ ἀληθινὸς καὶ δίκαιος :—

Βασιλειῶν α·

ῥῆμα κυ̅ ἐγένετο πρὸς γὰδ τὸν ὁρῶντα ταῦτα λέγον· πορεύου καὶ λάλησον πρὸς δαδ̅ λέγων· ἐκλέξαι σεαυτῷ γενέσθαι· ἢ τρία ἔτη λιμὸν ἐπὶ τὴν γῆν· ἢ τρεῖς μῆνας φυγεῖν σε ἐκ προσώπου τῶν ἀλλοφύλων. καὶ αὐτοὺς καταδιώκοντάς σε· ἢ γενέσθαι τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ. καὶ εἶπε δαδ̅ πρὸς γάδ· στενά μοι πάντοθεν σφόδρα· ἔτι καὶ τὰ τρία. ἐμπεσοῦμαι δὲ εἰς χεῖρας κυ̅. ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα· εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. καὶ ἔδωκε κς̅ ὁ θς̅ θάνατον ἐν ἰηλ̅ ἀπὸ πρωΐθεν ἕως ἀρίστου. καὶ ἀπέθανον ἐκ τοῦ λαοῦ ἀπὸ δὰν ἕως βηρσαβεέ, ἑβδομήκοντα χιλιάδες. καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ θυ̅ τὴν χεῖρα αὐτοῦ ἐπὶ ἰλ̅η̅μ̅. τοῦ διαφθεῖραι ἐν αὐτῇ· καὶ παρεκλήθη κς̅ ἐπὶ τῇ κακίᾳ ϗ εἶπε τῷ ἀγγέλῳ· ἱκανόν· ἄνες τὴν χεῖρά σου :—

δαδ̅

ὁ θς̅ κριτὴς δίκαιος ϗ ἰσχυρὸς καὶ μακρόθυμος :— ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κε̅ :—

τοῦ ἐλέους σου κε̅, πλήρης ἡ γῆ :—

σὺ κ̅ε̅ χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος:—
σο ἐλεεῖς πάντας ὅτι πάντα δύνασαι
καὶ παρορᾶς ἁμαρτήματα ἀνθρώπων εἰς
μετάνοιαν:— σὺ δεσπόζων ἰσχύος
ἐν ἐπιεικείᾳ κρίνεις. καὶ μετὰ πολλῆς
φειδοῦς διοικεῖς ἡμᾶς:— ἐμπε-
σούμεθα εἰς χεῖρας κ̅υ̅. καὶ οὐκ εἰς
χεῖρας ἀνθρώπων· ὡς γὰρ ἡ μεγαλωσύνη
αὐτοῦ. οὕτως καὶ τὸ ἔλεος αὐτοῦ:—
εὐαγγ τὸν ἥλιον αὐτοῦ, ἀνατέλλει ἐπὶ πονηροῖς
καὶ ἀγαθοῖς. καὶ βρέχει ἐπὶ δικαίοις
καὶ ἀδίκοις:— εἰ ὑμεῖς πονηροὶ
ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι
τοῖς τέκνοις ὑμῶν· πόσῳ μᾶλλον ὁ πατὴρ
ὑμῶν ὁ ἐν τοῖς οὐ̅νοῖς. δώσει ἀγαθὰ
τοῖς αἰτοῦσιν αὐτόν:—
ἀπ̅ ἰα κώβ πολυσπλαγχνος ἐστὶν ὁ κ̅ς̅ καὶ οἰκτίρ-
μων πρὸ πάντων:—
βασι καίτοιγε ὁ ἀγαθός. καὶ ἀγαθῶν παρεκτι-
κὸς ἐστὶ δημιουργότη:—
θεο πολλῶν ὄντων ἐφ᾽ οἷς θαυμάζεται ὁ θ̅ς̅, οὐ-
δὲν οὕτως αὐτοῦ. ὡς τὸ πάντας εὐερ-
γετεῖν ἰδιαίτατον:— πολλάκις πα-
ραδόξοις σ̅ρίας. οἶδε τὸ θεῖον καινο-
τομεῖν. μᾶλλον πρὸς τὸ φιλάνθρωπον:—
νυσ ὁ τῇ φύσει ἀγαθός, καὶ ἀγαθῶν πάντως παρε-
κτικὸς γίνεται:— ἡ τοῦ θ̅υ̅ μακροθυμία.
τοῖς οὐκ εἰς δέον χρωμένοις αὐτῇ, μαι

κροτέραν πρὸς τὸ τέλος ἐπάγει τὴν δίκην:—
καὶ καθάπερ τοῖς μαινομένοις οἶνος ἄφθονος,
οὕτω τοῖς ἀνενδότοις καὶ σκληροῖς. μεί-
ζονων γίνεται κολάσεων πρόφασις:—

Εἰρηναίου

Βίαιος ὁ πρὸς ὀλίγον· ἀγαθὴ δὲ γνώμη πάν-
τοτε συμπάρεστιν αὐτῷ:—

Διαδό-
μου·

Φύσει μὲν καὶ κατ' οὐσίαν ὁ θεὸς οἰκτιρμοὺς ἔχει·
ὀργὴν δὲ οὐ κατὰ φύσιν, ἀλλὰ δι' ἄλλους.

Φίλ

Θεῖον· τὰ μὲν ἀγαθὰ, προτείνειν καὶ φθά-
νειν δωρούμενον· τὰ δὲ κακὰ, μὴ ῥᾳ-
δίως ἐπάγειν· οὐδὲ γὰρ τοῖς ἁμαρτά-
νουσιν εὐθὺς ἐπεξέρχεται ὁ θεός· ἀλλὰ δίδω-
σι χρόνον εἰς μετάνοιαν· καὶ τὴν τοῦ σφάλ-
ματος ἴασίν τε καὶ ἐπανόρθωσιν:— ✶

ιη ἐπ φυσι- ✶
κῶν·

Γενέσεως
παροι·

Ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ,
ἐκ νεότητος αὐτοῦ:— σὴς ὀστέων, καρ-
δία αἰσθητική:— ἀνδρὸς λυπηροῦ, ξηραί-
νεται ὀστᾶ:— πάντα τὸν χρόνον οἱ ὀφθαλ-
μοὶ τῶν κακῶν, προσδέχονται κακά:— ὥ-
σπερ οὐχ ὅμοια πρόσωπα προσώποις, οὕ-
τως οὐδὲ αἱ καρδίαι τῶν ἀνθρώπων ἴσαι:—

Ἠσαΐου

πᾶσα καρδία εἰς λύπην:— πᾶν ζῶον ἀγα-
πᾷ τὸ ὅμοιον αὐτῷ· καὶ τῷ ὁμοίῳ αὐτοῦ
προσκολληθήσεται ἀνήρ:—

ἀπ Ἰω

πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς· καὶ οὐκ ἔρ-
χεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα
αὐτοῦ· ὅτι οὐκ ἐν θεῷ εἰσὶν εἰργασμένα:—

ἀπ πε

ᾯ τις ἥττηται, τούτῳ καὶ δεδούλωται:—

Βασι Πεφύκαμεν οἱ ἄνοι· ἅπερ ἂν ἑκόντες ἐργασώμεθα. κἂν ἐπίπονα ᾖ, καταδέχεσθαι:—

Θαυμα του̃ρ. θεο̃ Φιλόσοφος ἄν τι πραγματεύσῃς. κενὰ πάντα:—

Ὅ τις μὴ πέπονθεν. οὐδ' ἂν εὕροι:— Τὸ ἕτοιμον εἰς ἐξουσίαν. ἀργὸν εἰς ἐπιθυμίαν:—

Οὐδὲν οὕτως ἡδὺ τοῖς ἄνοις. ὡς τὸ μαθεῖν τὰ ἀλλότρια:— Κρίνουσιν οἱ πολλοὶ τὰ τῶν ἄλλων, τοῖς ἰδίοις πάθεσιν:—

Εὐκαταφρόνητον ἅπαν τὸ ῥαδίως νικώμενον:—

Καλῶν διδασκάλων. καλὰ τὰ μαθήματα· κακῶν δὲ πονηρῶν σπερμάτων. πονηρὰ τὰ γεώργια:—

✱ Ἔθος τοῖς πολλοῖς τῶν ἀνῶν ὅταν ὑπὸ ὀργῆς κατασχεθῶσι καὶ λύπης. κἂν μὴ τοῖς αἰτίοις συντύχωσι τῶν παθῶν. εἰς τοὺς ἐμπίπτοντας ἁπλῶς καὶ ἀνυπόπτους, ἀφιέναι τὴν ὀργήν:—

Ἡ τῶν ἀλλοτρίων κακῶν ἐπίτασις, ἐλάττω τὰ οἰκεῖα ποιεῖ φαίνεσθαι. κἂν ἀφόρητ' ᾖ·

Οὐχ ἡ τῶν λεγομένων φύσις ὡς ἡ τῆς ἔχθρας πρόληψις. ἡμᾶς ἀγριοῦν εἴωθεν:—

Πολλοὶ τῶν ἀνῶν ἐκ τῶν καθ' ἑαυτούς. καὶ περὶ τῶν ἄλλων τὰς ψήφους φέρουσιν· οἷον ὁ μὲν θυμῶν διηνεκῶς, οὐκ ἂν πιστεύσει εἶναί τινα ἄνον, ἐν ἀκρατείᾳ ζῶντα· ὁ πόρναις προσέχων, καὶ τοὺς κοσμίως βιοῦντας. ἀκολάστους εἶναι νομίζει· πάλιν ὁ τὰ τῶν ἄλλων ἁρπάζων, οὐκ ἂν πιστεύσειε ῥαδίως. ὅτι εἰσὶν ἄνοι τῶν ἑαυτῶν προϊέμενοι:—

φίλ Χαλεπὸν ἐναντιοῦσθαι φύσιν· ὦ ἄνερ
τὸ παρὰ φύσιν ἀλλ' ἐντρίψαι καὶ εἰσοι-
κίσαι τι τῇ φύσει διάφορον, οὕτω καὶ
πάντα τὰ φύσει πεφυκότα, μεταθεῖναι
καὶ ἀναχαιτίσαι· εἴρηται γὰρ εὖ·
φύσεως ἄν τι πράττοις ἧττον. κενὰ
τὰ πάντα :— ⸓⸓⸓ — ⸓⸓⸓ — ⸓⸓⸓ — ⸓ ⁜

συθ ε
Π φιλεργῶν καὶ σπουδαίων· καὶ ὅτι
χρὴ πονεῖν· ὠφέλειαν γὰρ ἔχει :—

γενέσεως Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ
τὸν ἄρτον σου :— ἰὼβ Ἐκ μερίμνης
καὶ φροντίδος ἀναφανήσεταί σοι
εἰρήνη :— δαδ Τοὺς πόνους τῶν καρπῶν
σου φάγεσαι· μακάριος εἶ καὶ καλῶς σοι :—

παροιμ Ἐὰν ἄοκνος ἦς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμη-
τός σου· ἡ δὲ ἔνδεια, ὥσπερ κακὸς δρο-
μεὺς ἀπαυτομολήσει :— Ὃς φυτεύει
συκῆν, φάγεται τοὺς καρποὺς αὐτῆς :—
Χεῖρες ἀνδρείων πλουτίζουσιν :—
Ὁ συνάγων ἑαυτῷ μετ' εὐσεβείας πλη-
θυνθήσεται :— σιραχ Ἐργάζεσθε τὸ ἔρ-
γον ὑμῶν πρὸ καιροῦ, καὶ δώσει τὸν
μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ :—
Ἐν ὡραίοις ἀγροῦ. καὶ μὴ ὀργᾷ :—

ἀπο Αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις :—
ὑπέδειξα ὑμῖν ὅτι οὕτως κοπιῶν-
τας, δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούν-
των· μνημονεύειν τε τῶν λόγων τοῦ κυ ιυ·

τῶν μνημονεύειν

ὅτι αὐτὸς εἶπεν· μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν:—

βασι Τί τῶν ἀγαθῶν ἄκοπον; τίς κατὰ ἀνδρῶν τρόπαιον ἔστησεν; τίς τρυφῶν καὶ καταυλούμενος, τοῖς τῆς καρτερίας στεφάνοις κατεκοσμήθη; οὐδεὶς μὴ δραμὼν ἀνείλετο βραβεῖον· πόνοι γεννῶσι δόξαν· κάματοι προξενοῦσι στεφάνους:—

Οἱ ἐκ μακρᾶς συνηθείας μεμελετημένοι πόνοι, ἀλυπότεροι προσπίπτουσι τοῖς ἐγγεγυμνασμένοις:—

Ἔστιν ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία:—

ἐὰν φειδώμεθα τῆς σαρκὸς τοῦ ἐκπονῆσαι, οὐκ ἀπολαυσόμεθα τῶν ἀγαθῶν τῶν δικαίων:—

Μικρὸν κοπιάσωμεν ἀγαπητοί, ἵνα μὴ τῶν αἰωνίων ἐκπέσωμεν ἀγαθῶν:—

✱ Πρὸς ὀλίγον χρόνον ὁ κάματος, καὶ εἰς αἰῶνας αἰώνων ἡ ἀνάπαυσις· ὅπου πλείων ὁ κόπος, ἐκεῖ μείζων ἡ ἡδονή:—

Οὐκ ἀμβλύνει ὁ ἀνδρομῶν πρὸς τοὺς πόνους, διὰ τοὺς ἐκ τῶν πόνων καρπούς:—

Πανταχοῦ διὰ δυσκολίας καὶ πόνων τοῖς ἀνθρώποις, πέφυκε τὰ χρήσιμα παραγίνεσθαι:— Οἱ πόνοι, πανταχοῦ τῶν ἀγαθῶν χορηγοί:—

κλήμεντος Ἄτοπόν ἐστι διώκοντα τὰς τιμάς, φεύγειν τοὺς πόνους δι' ὧν αἱ τιμαί:—

ἄτοπόν ἐστι διώκοντα τὰς τιμάς

* ϙζ

## Περὶ φίλων χρηστῶν :— ::— ::*

Βασιλειῶν α´

Προσέθετο Ἰωνάθαν ὀμόσαι τῷ Δαδ, ὅτι
ἠγάπησε ψυχὴν ἀγαπῶντος αὐτόν. ἀπεκρί-
θη Ἰωνάθαν τῷ πρὶ αὐτοῦ καὶ εἶπεν· ἱ-
νατί ἀποθνήσκει Δαδ· τί πεποίηκε·
ἐπήρατο Σαοὺλ τὸ δόρυ ἐπὶ Ἰωνάθαν.
ὅτι συντετέλεσται ἡ κακία παρὰ τοῦ πρὸς
αὐτοῦ θανατῶσαι τὸν Δαδ. καὶ ἀνεπήδη-
σεν Ἰωνάθαν ἀπὸ τῆς τραπέζης ἐν ὀργῇ
θυμοῦ. καὶ οὐκ ἔφαγε τῇ ἡμέρᾳ τοῦ μηνὸς
τοῦ δευτέρου ἄρτον :—

Βασιλειῶν β´

ἀλγῶ ἐπὶ σοὶ ἀδελφέ μου Ἰωνάθαν· ὡραι-
ώθης μοι σφόδρα· ἐθαυμαστώθη ἡ ἀγά-
πησίς σου ἐμοί. ὑπὲρ ἀγάπησιν γυναικῶν :—

Παροιμ

φίλοι εὐσεβεῖς. θεραπεύουσι φίλοις πτωχοῖς :—
μὴ τεκταίνε ἐπὶ σὸν φίλον κακά, παροι-
κοῦντα καὶ πεποιθότα ἐπὶ σοί :—
Ὃς κρύπτει ἀδικήματα. ζητεῖ φιλίαν :—
Εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι· ἀδελ-
φοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν· διὰ
τοῦτο γὰρ γεννῶνται :—
ἀξιοπιστότερα τραύματα φίλου, ἢ ἑκούσια
φιλήματα ἐχθροῦ :— φίλον σὸν ἢ φίλον
πατρῷον, μὴ ἐγκαταλίπῃς· εἰς δὲ οἶκον
τοῦ ἀδελφοῦ σου, μὴ εἰσέλθῃς ἀτυχῶν :—
Κρείσσων φίλος ἐγγύς, ἢ ἀδελφὸς μακρὰν
οἰκῶν :— φίλος πιστός, σκέπη κραταιά·
ὁ δὲ εὑρὼν αὐτόν, εὗρε θησαυρόν :—

Ἐκκλη

φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα· καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ· φίλος πιστὸς φάρμακον ζωῆς· καὶ οἱ φοβούμενοι κύριον εὑρήσουσιν αὐτόν:— μὴ ἐγκαταλίπῃς φίλον ἀρχαῖον· ὁ γὰρ πρόσφατος, οὐκ ἔστιν ἔπισος:— οἶνος νέος, φίλος νέος· ἐὰν δὲ παλαιωθῇ, μετ' εὐφροσύνης πίεσαι αὐτόν:—

πρὶν ἢ τελευτῆσαι, εὐποίει φίλῳ· καὶ κατὰ τὴν ἰσχύν σου, ἔκτεινον καὶ δὸς αὐτῷ· ἀπόλεσον ἀργύριον διὰ ἀδελφὸν καὶ φίλον:—

θεο φίλου πιστοῦ, οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν· οὐδέ τις σταθμὸς τῆς καλλονῆς αὐτοῦ:— πρέπει τοὺς παῖδας· ὥσπερ τῆς οὐσίας τῆς πατρικῆς, οὕτω δὴ καὶ τῆς φιλίας κληρονομεῖν:—

φίλους δὲ ὅταν εἴπω, τοὺς καλοὺς λέγω καὶ ἀγαθοὺς καὶ κατὰ ἀρετὴν ἡμῖν συναπτομένους:—

πάντα κοινὰ ποιούμεθα καὶ λύπας καὶ εὐφροσύνας· τοιοῦτον γὰρ ἡ φιλία:—

⳩ τὰ παρὰ φίλων λεγόμενα κἂν ὑβριστῇ, φορητά:— ὁ ψῦχος ὥσπερ ἕως κατακαίειν εἴωθε σώματος φύσιν, ὡς τὰς ψυχὰς τὸ ἐκχωρισθῆναι τῶν φίλων μόνων:—

ἀφρι
ου ἰδίως ἐκεῖνος φίλος, ὁ τὴν τύχην διατρέφων:— γνήσιος φίλος, ὁ τὰς περιστάσεις κοινούμενος:— μέγιστον κτῆμα φίλος ἀδιάπτωτος:— ὁ καὶ τῶν ἐμφίλος, ῥέει μὲν καὶ γάρ τοῖς ἄρτι θάλλουσι:— ⁘ — ⁘ — ⁘ —

σζ Περὶ φίλων ἢ τραπέζης καὶ μοχθηρῶν:

σόλωνος φίλοις ἀδικεῖς, μὴ συνοῦσι φίλοις ταχέως:

ἀνὴρ παράνομος. ἀποπειρᾶται φίλον
καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς:

ὃς εὐλογεῖ φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ,
καταρωμένου οὐδὲν διαφέρει:

μιχαί μὴ καταπιστεύετε ἐν φίλοις· μὴ δὲ ἐλπί
ου ζετε ἐπὶ ἡγουμένοις:

σιράχ Ἔστι φίλος κοινωνὸς τραπέζης ἐν και
÷ ἐν ἡμέ ρῷ αὐτοῦ, καὶ οὐ μὴ παραμείνῃ ἐν και
ρῷ θλίψεως. καὶ ἐὰν ταπεινωθῇς, ἔσται
κατὰ σοῦ: ἔστι φίλος, ὀνόματι μόνον φίλος:

Εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι
αὐτόν. καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ:

εὐαγ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν. ψυγή
σεται ἡ ἀγάπη τῶν πολλῶν:

Βασι Οἱ ἀκόλαστοι τὴν γνώμην· μέχρι μὲν ἂν
τῷ στόματι αὐτῶν τὰ σιτία τυγχάνει,
εὐφημοῦσι· κολακεύουσιν· ὑπερθαυμά
ζουσιν· ὅταν δὲ τῆς τραπέζης ἀπο
σχεθεῖσιν· ὥσπερ τισὶ λίθοις ταῖς βλα
σφημίαις βάλλουσιν. ὃν πρὸ βραχέος ἴσα
θεῷ διὰ τὴν ἡδονὴν προσεκύνουν:

Ἡ πρὸς ἀλλήλους πίστις, ἀπέσβη ἀπ' αὐ
τῶν· καὶ ἡ φιλία μέχρι τραπέζης ὥρι
σται παρ' αὐτοῖς· αἱ προσηγορίαι αὐτῶν
εὐαγρίου ὑποψίας πεπλήρωνται: Χρεῖσσον κι
φι νδηρὸν ἄμεινον ἢ φίλον κεκτῆσθαι:
νόσος φιλίας αἱ κολακεῖαι:

* πε φιλοτιμουμένων καὶ μεταδοτι- σξκ
κῶν. καὶ ὅτι ἡ φιλοτιμία σω-
τηρίαν προξενεῖ: —

Βασιλειῶν ἀπέστειλεν ἄχαζ ἀγγέλους πρὸς τὸν
βασιλέα ἀσσυρίων λέγωμ. δοῦλός
σου καὶ υἱός σου ἐγώ. ἀνάβηθι σῶσόν
με ἐκ χειρὸς βασιλέως συρίας. ϛ
ἐκ χειρὸς βασιλέως ἰηλ τῶν ἐπανι-
σταμένωμ ἐπ' ἐμέ. καὶ ἔλαβεμ
ἄχαζ τὸ ἀργύριομ καὶ τὸ χρυσίομ τὸ
εὑρεθὲν ἐν θησαυροῖς αὐτοῦ. καὶ ἀ-
πέστειλε τῷ βασιλεῖ δῶρα. καὶ
ἤκουσεν αὐτοῦ ὁ βασιλεὺς ἀσσυρίωμ
καὶ ἀνέβη εἰς δαμασκὸμ καὶ συνέ-
λαβεμ αὐτήμ. καὶ τὸν ῥαασσὼμ ἐθανάτω:

Παροιμ δόμα ἀνου ἐμπλατύνει αὐτόν. ϛ πα-
ρὰ δυνάσταις καθιζάνει αὐτόμ: —
δόσις λαθραία. ἀνατρέπει ὀργάς: —
ἄνδρα ἱλαρὸν ϛ δότην ἀγαπᾶι ὁ θσ: —

σιραχ ἐμ πάσηι δόσει, ἱλάρωσον τὸ πρόσω-
πόν σου: — τῶν ἀγαθῶν ἔργωμ
αἱ χάριτες. ἐπὶ τοὺς διδόντας ἐπανα-
στρέφουσιν: —

Βασι τὸ φιλότιμον ἔλκε μᾶλλον. καὶ τὸ μὴ τοι-
οῦτον κατακοσμούμενον: — — ×

* πε χαρίσματος. ὅτι χρὴ σπουδάζειν σξε
διὰ τῆς καλλίστης ἀναστροφῆς χάριν
ἔχειν. πρὸς θν ϛ πρὸς πάντας. εἰς οἰ-
κοδομήν: —

γενέ σεως ἦν κς μετὰ ἰωσήφ· καὶ ἦν ἀνὴρ ἐπιτυγ
χάνων· καὶ εὗρεν ἰωσὴφ χάριν ἐναντί
ον τοῦ κυ αὐτοῦ· εὐηρέστει δὲ αὐτῷ· καὶ
κατέστησεν αὐτὸν ἐπὶ τὸν οἶκον αὐτοῦ· ϗ
πάντα ὅσα ἦν αὐτῷ, ἔδωκε διὰ χει
ρὸς ἰωσήφ:—

Καὶ εἶπε φαραὼ τῷ ἰωσήφ· ἐπειδὴ ἔδει
ξέ σοι ὁ θεὸς ταῦτα πάντα, οὐκ ἔστιν ἄνθρωπος
φρονιμώτερος καὶ συνετώτερος σου· σὺ
ἐξο ἔσῃ ἐπὶ τῷ οἴκῳ μου· καὶ ἐπὶ τῷ στόμα
τί σου ὑπακούσεται πᾶς ὁ λαός μου·
πλὴν τὸν θρόνον ὑπερέξω σου:—

τῆς ἐξο Εἶπε κς πρὸς μωϋσῆν· εὕρηκας χάριν
ἐνώπιόν μου. ϗ οἶδά σε παρὰ πάντας:—

παροι Χάρις καὶ φιλία ἐλευθεροῖ· ἃς καὶ τήρη
σον σεαυτῷ· ἵνα μὴ ἐπονείδιστος ᾖς:—

σιραχ ἔσῃ αἰσχυντηρὸς καὶ εὑρίσκων χάριν· ἔναν
τι παντὸς ἀνου:—

Χάρις, ὡς παράδεισος εὐλογίας:—

ἀπο πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείο
νας κερδήσω:— ἐγενόμην τοῖς ἰου
δαίοις ὡς ἰουδαῖος, ἵνα τοὺς ἰουδαίους κερ
δήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄ
νομος θῦ ἀλλ' ἔννομος χῦ· ἵνα κερδήσω
τοὺς ἀνόμους· ἐγενόμην τοῖς ἀσθενέσιν
ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω·
τοῖς πᾶσι γέγονα τὰ πάντα· ἵνα πάν
τως τινὰς σώσω:—

προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον
τοῦ θῦ. ἀλλὰ καὶ ἐνώπιον τῶν ἀνων:

ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος σατᾶν
ἵνα με κολαφίζῃ ἵνα μὴ ὑπεραίρω
μαι. ὑπὲρ τούτου τρὶς τὸν κν͂ παρεκά
λεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. καὶ εἴρη
κέ μοι. ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύ
ναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται:

* * *

## περὶ χρημάτων καὶ τῆς περὶ ταῦτα σπουδῆς: σζ

ἐκκλησιαστ τοῦ ἀργυρίου ὑπακούσεται τὰ σύμπαντα:

μὴ ἔπεχε ἐπὶ τοῖς χρήμασί σου. καὶ μὴ
εἴπῃς αὐτάρκη μοί ἐστιν:

πολλοὺς ἀπώλεσε τὸ χρυσίον. καὶ καρδί
ας βασιλέων ἐξέκλινεν:

ἀγαθὸς πλοῦτος, ᾧ μὴ ἐστὶν ἁμαρτία·
ἀνδρὶ μικρολόγῳ, οὐ καλὸν πλοῦτος·
καὶ ἀνδρὶ βασκάνῳ. ἵνα τί χρήματα:

πολλοὶ ἐδόθησαν εἰς πτῶμα. χάριν χρυ
σίου. καὶ ἐγενήθη ἡ ἀπώλεια αὐτῶν.
κατὰ πρόσωπον αὐτῶν:

φῖ οἷς ὁ ἀληθινὸς πλοῦτος ἐν οὐρανοῖς ἀπό
κειται διὰ σοφίας καὶ ὁσιότητος, τού
τοις καὶ ὁ τῶν χρημάτων ἐπὶ γῆς περιουσι
άζει, προνοίᾳ καὶ ἐπιμελείᾳ θεοῦ·
οἷς δὲ ὁ κλῆρος οὐκ ἐστὶν οὐράνιος διὰ ἀσέ
βειαν καὶ ἀδικίαν καὶ ψυχῆς μερίμνας
ἀπρεπεῖς, οὐδὲ τῶν ἐπὶ γῆς ἀγαθῶν εὐο
δεῖν πέφυκεν ἡ κτῆσις:

σζε

## Περὶ χαρᾶς καὶ θυμηδίας:—

Γενέσε. Εἶπεν Σάρρα· γέλωτά μοι ἐποίησεν κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. καὶ εἶπεν· τίς ἀναγγελεῖ τῷ Ἀβραάμ; ὅτι ἔτεκον υἱὸν ἐν γήρει μου· ὅτι θηλάζει παιδίον Σάρρα. καὶ ἐποίησεν δοχὴν μεγάλην Ἀβραὰμ τῇ ἡμέρᾳ ᾗ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ:—

Βασιλειῶν β. Ἐπορεύθη Δαυὶδ καὶ ἀνήγαγε τὴν κιβωτὸν τοῦ κυρίου εἰς τὴν πόλιν Δαυὶδ ἐν εὐφροσύνῃ· καὶ ἦσαν μετ᾽ αὐτοῦ αἴροντες τὴν κιβωτὸν τοῦ κυρίου ἑπτὰ χοροί· καὶ Δαυὶδ ἀνεκρούετο ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον κυρίου· καὶ Δαυὶδ ἐνδεδυμένος στολὴν ἔξαλλον· καὶ Δαυὶδ καὶ πᾶς ὁ οἶκος Ἰσραὴλ ἀνήγαγον τὴν κιβωτὸν τοῦ κυρίου μετὰ κραυγῆς, καὶ μετὰ φωνῆς σάλπιγγος· καὶ ἀνήγαγε Δαυὶδ ὁλοκαυτώματα ἐνώπιον κυρίου καὶ εἰρηνικάς· καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι κυρίου τῶν δυνάμεων:—

Παροιμ. Καρδίας εὐφραινομένης πρόσωπον θάλλει:—

Βασι. Ἡ χαρὰ οἷόν τι σκίρτημά ἐστι ψυχῆς, ἐπαγαλλομένης τοῖς κατὰ γνώμην· ὅθεν τοῖς εὐφραινομένοις ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος φύσις· μόνον οὐχὶ πηδώσης τῆς ψυχῆς καὶ προσωθουμένης ὑφ᾽ ἡδονῆς πρὸς τὸ ἔξω:—

Φιλ. Ἡ χαρά, εὐπάθεια ψυχῆς ἐστίν:— Οὐδὲν ἀγαθόν, ὃ μὴ πρόσεστι χαρά:—

※ Περὶ χαρισμάτων καὶ δωρημάτων θεοῦ· σζε
καὶ ὅτι βίω σεμνῷ ἀντιδίδονται
παρὰ τοῦ ἁγίου πνς: —

ἀπ(όστολος) Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· οὐ δύνα|ἐκ τοῦ πρὸ
ται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ|ρωμαί
δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ: —|οις:
ἀμεταμέλητα τὰ χαρίσματα καὶ ἡ κλῆσις
Ἰακώβου τοῦ θεοῦ: — πᾶσα δόσις ἀγαθὴ καὶ
πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι
καταβαῖνον ἀπὸ τοῦ πρὸς τῶν φώτων: —

φιλων Ἐκδιδόμενος ὁ θεὸς [illegible] τῶν δωρη
μάτων. οὐ παρ' αὐτῷ ἐστιν ὅτε [illegible]
μετρεῖ καὶ [illegible] μερεῖ ταύτης δωρεᾶς·
συμφερόντως· ἵνα μὴ μεμψιμοιρῶ
σιν ὑπ' ἀνθρώποις γίνονται οἱ πάντες τῆς
θείας χάριτος. [illegible]
τὸ μέγεθος αὐτῶν. τῷ δὲ [illegible]
χηκεν αὐτῶν: — ⁝ — ⁝ — ※

※ Περὶ χαιρεκακίας. καὶ τῶν ἀποδεχο σζ
μένων τὰ πονηρά. καὶ ἀτιμαζόν
των τὸν δίκαιον: —

δαδ Συγχαιρόμενοι τοῖς ἐν διαφόροις οἷς δι
ασοφίζονται: — ἀλλὰ γὰρ ἐπιθέ
τωσαν χεῖρα τοῖς δόμασι ταῖς [illegible]: —
Οἱ μισοῦντες τὸν δίκαιον πλημμελή(σουσι): —
Οἱ εὐλογοῦντες τὸν δίκαιον κληρονομήσου
παροιμ(ίαι) σι γῆν: — τοῖς σοφοῖς καὶ συνετοῖς
φθονοῦσι κακοῖσιν: — ἄνδρες αἱμάτ(ων)

μέτοχοι. μισητὸς ὁσίῳ μὴ ὅσιος:— ὁ δίκαιον κρί
νει τὸν ἄδικον· ἄδικον δὲ τὸν δίκαιον. ἀκά
θαρτος ς βδελυκτὸς παρὰ κῳ:—
ὁ εἰπὼν τὸν ἀσεβῆ δίκαιός ἐστιν, ἐπικατά
ρατος λαοῖς ἔσται. καὶ μισητὸς ἔθνεσι:—
Οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς. καὶ χαίρον
τες ἐπὶ διαστροφῇ κακῇ. ὧν αἱ τρίβοι
σκολιαί. ς καμπύλαι αἱ τροχιαὶ αὐτῶν. τοῦ
μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας. ς
ἀλλότριον τῆς ἰδίας γνώμης:—
Φιλαμαρτήμων χαίρει μάχαις. ἐκζητοῦν
τα δὲ κακά. καταλήψεται αὐτόν:—
πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν.
προσδέχονται κακά:—
Ἡσαΐου Οὐαὶ τῇ ψυχῇ αὐτῶν. ὅτι βεβούλευνται βουλὴν
πονηρὰν καθ' ἑαυτῶν εἰπόντες. δήσωμεν
τὸν δίκαιον. ὅτι δύσχρηστος ἡμῖν ἐστιν·
τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν
φάγονται:— οὐαὶ οἱ λέγοντες τὸ πονη
ρὸν καλόν. καὶ τὸ καλὸν πονηρόν:—
Σιρᾶχ τέκνον ἐν ἀγαθοῖς μὴ δῷς μῶμον. οὐ δί
καιον ἀτιμάσαι πτωχὸν συνετόν. καὶ οὐ
καθήκον δοξάσαι ἄνδρα ἁμαρτωλόν:—
Βασι προδοσία τῆς ἀληθείας ἐστὶν καὶ ἐθισμὸς
πρὸς διαφθοράν. ἡ τῶν πονηρευομένων
ἀποδοχή:— πολλοί εἰσι τὰς πονηρὰς
πράξεις ἀποδεχόμενοι. καὶ χαρίζονται
μὲν τὸν ἀπραγμονέστερον λέγοντες. τὸν δὲ αἰσχρο

λόγον ποντικόν· καὶ τὸν πικρὸν καὶ ὀργίλον. ἀκαταφρόνητον ὀνομάζουσιν· τὸν φειδωλὸν καὶ ἀκοινώνητον. ὡς οἰκονόμον ἐπαινοῦσιν· τὸν ἄσωτον ἐλευθέριον· τὸν πονηρὸν καὶ ἀσελγῆ, ἀπαραιτικόν τινα καὶ ἀνειμένον:—

⁜ ἐμμέσῳ ἐν πονηρίᾳ ζῶμεν· κἂν μηδ᾽ ἑαυτὸ κακιζώμεθα. πάντων τῶν ἐμμέσῳ ἀνθρώπων· ἂν δὲ ἀρετὴν ἐπιμελώμεθα. κἂν ἡ οἰκουμένη μάλα κακῶς, τότε πάντων ἐσόμεθα ζηλωτότεροι:—

Οὐ τὸ ζηλοῦν κακίαν· ἀλλὰ καὶ τὸ τοὺς ἐν αὐτῇ ζῶντας ἐπαινεῖν, φέρει τινὰ κόλασιν οὐ τὴν τυχοῦσαν ἡμῖν· καὶ εἰ χρή τι καὶ θαυμαστὸν εἰπεῖν. αὐτῶν τῶν ἐν πονηρίᾳ ζώντων χαλεπώτεραν· τὸ γὰρ ἁμαρτάνειν τοῦ ἐπαινεῖν τοὺς ἁμαρτάνοντας, πολὺ μεῖζον εἰς κολάσεως λόγον· ὡς μάλα εἰκότως· διεφθαρμένης γὰρ ἐστὶ γνώμης καὶ ψυχῆς ἀνιάτως νοσούσης αὕτη ἡ ψῆφος· ὁ γὰρ ἐπαινῶν πονηρίαν. τῆς ἐκ τοῦ μεταμελεῖσθαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν· ὡς εἰκότως τοῦτο ἐκείνου χαλεπώτερον ὁ Παῦλος εἶναι ὑπομοθήνοσιν· διὰ τοῦτο οὐχ οἱ ταῦτα πράσσοντες μόνον· ἀλλὰ καὶ οἱ τούτοις ἐγκωμιάζοντες, τῆς αὐτῆς ἢ καὶ χαλεπωτέρας ἐκείνοις κοινωνήσουσι

ἐκαρίου κολάσεως:— λέγειν τὸν ἀνεπίμικτον. εἰς

ΔΑΥ θη ἁμαρτία :— Ἐπίτασις κακίας τὸ μὴ μόνον αὐτὸν ἁμαρτάνειν, ἀλλὰ καὶ συγχωρεῖν ἄλλοις :—

## Ἐπὶ χαλεπῶν καὶ ἀνοσίων πράξεων :

Κριτῶν. Ἐμισθώσατο ἑαυτῷ Ἀβιμέλεχ ἄνδρας κενοὺς καὶ δειλούς, καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ. Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ εἰς Ἐφραθά. Καὶ ἀπέκτεινε τοὺς ἀδελφοὺς αὐτοῦ υἱοὺς Ἰεροβοὰμ ἑβδομήκοντα ἄνδρας, ἐπὶ λίθον ἕνα. Καὶ κατελείφθη Ἰωάθαμ υἱὸς Ἰεροβοὰμ ὁ νεώτερος, ὅτι ἐκρύβη :—

Βασιλειῶν Β. Ἐπηράσθη τῆς ἀδελφῆς Ἀμνών. Καὶ εἶπεν αὐτῇ· δεῦρο κοιμήθητι μετ' ἐμοῦ. Καὶ εἶπεν αὐτῷ· μὴ ἀδελφέ μου μὴ ποιήσῃς τὴν ἀφροσύνην ταύτην. Καὶ οὐκ ἠκούσεν αὐτῆς. Καὶ ἐκραταίωσεν ὑπὲρ αὐτὴν καὶ ἐταπείνωσεν αὐτὴν καὶ ἐκοιμήθη μετ' αὐτῆς. Καὶ ἐμίσησεν αὐτὴν Ἀμνὼν μῖσος μέγα σφόδρα. Καὶ εἶπεν αὐτῇ Ἀμνών· ἀνάστηθι καὶ πορεύου. Καὶ εἶπεν αὐτῷ Θάμαρ· μὴ ἀδελφέ, ὅτι μεγάλη ἡ κακία ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην ἣν ἐποίηκας μετ' ἐμοῦ τοῦ ἐξαποστεῖλαί με. Καὶ οὐκ ἠκούσεν Ἀμνὼν τῆς φωνῆς αὐτῆς :—

Ἐποίησεν Ἀβεσσαλὼμ πότον. Καὶ ἐνετείλατο τοῖς παιδαρίοις αὐτοῦ λέγων· ἴδετε ὡς ἂν ἀγαθυνθῇ ἡ καρδία Ἀμνὼν ἐν τῷ

οἱ μου· καὶ εἶπε πρὸς ὑμᾶς πατάξατε
αὐτόν· καὶ θανατώσατε αὐτόν. μιᾷ φωνῇ
αὐτῷ· καὶ ἐποίησαν τὰ παιδάρια ἀβ-
εσσαλώμ τοῦ ἀμνών καθὰ ἐνετείλατο:—

παροιμ· διὰ τριῶν σείεται ἡ γῆ· τὸ δὲ τέταρτον οὐ δύ-
ναται φέρειν· ἐὰν οἰκέτης βασιλεύσῃ· καὶ
ἄφρων πλησθῇ σιτίων· καὶ ἐὰν οἰκέτις
ἐκβάλῃ τὴν ἑαυτοῦ κυρίαν· καὶ μισητὴ
γυνή· ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ:—

## περὶ ψυχῆς. καὶ νοῦ:

γενέσε· Ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς
γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐ-
τοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν:—

ἰώβ· πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισίν· πνεῦμα θεῖον
τὸ ποιῆσάν με· πνοὴ παντοκράτορος ἡ
διδάσκουσά με:—

σοφίας σολο· βρίθει τὸ γεῶδες
σκῆνος, νοῦν πολυφρόντιδα:—

σειρά· τέκνον· ἐν πραΰτητι δόξασον τὴν ψυχήν
σου· καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν
αὐτῆς:— ψυχὴ ἀνδρὸς ἀπαγγέλλειν εἴω-
θεν· ἢ ἑπτὰ σκοποὶ ἐπὶ μετεώρου καθήμενοι:—

τέκνον ἐν ζωῇ σου πείρασον τὴν ψυχήν σου·
καὶ ἰδὲ τί πονηρὸν αὐτῇ· καὶ μὴ δῷς αὐτῇ·
οὐ γὰρ πάντα πᾶσι συμφέρει· καὶ οὐ πᾶσα ψυ-
χὴ ἐν παντὶ εὐδοκεῖ:—

ψυχὴ πονηρὰ ἀπολεῖ τὸν κτησάμενον αὐτήν· καὶ
ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐτόν:—

τῶν ἀγαθῶν αἱ ψυχαί· τὰς καθαρὰς ταύτας

ἐοίκασι πηγαῖς· ἐκεῖναι γὰρ τοὺς παριόν-
τας κἂν μὴ διψῶσι, τῷ εἴδει ἐφέλκον-
ται αὐτοὺς ἀρύσασθαι τοῦ ποτοῦ:—

κλήμε ρώμης ἀθάνατοι πᾶσαι αἱ ψυχαὶ καὶ τῶν ἀσεβῶν.
αἷς ἄμεινον ἦν μὴ ἀφθάρτους εἶναι·
κολαζόμεναι γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς
ἀπεράντῳ τιμωρίᾳ καὶ μὴ θνήσκουσαι,
ἐπὶ κακῷ τὸ ἑαυτῶν τέλος λαβεῖν οὐκ ἔχουσι:—

ⓐ εἰρηναίου· αἱ ψυχαὶ ἀπέρχονται εἰς τὸν τόπον τὸν ὡ-
ρισμένον αὐταῖς ἀπὸ τοῦ θυ· κἀκεῖ μέχρι
τῆς ἀναστάσεως φοιτῶσι, περιμένουσαι
τὴν ἀνάστασιν· ἔπειτα ἀπολαβοῦσαι τὰ
σώματα καὶ ὁλοκλήρως ἀναστᾶσαι· του-
τέστι σωματικῶς καθὼς καὶ ὁ κς ἀνέστη.
οὕτως ἐλεύσονται εἰς τὴν ὄψιν τοῦ θυ:—

ⓐ ἀθαναί ὥσπερ τοῦ σώματος θνητοῦ τυγχάνοντος
θνητὰ καὶ αἱ τούτου θεωροῦσιν αἰσθήσεις.
οὕτως ἀθάνατα θεωροῦσαν καὶ διαλογι-
ζομένην τὴν ψυχήν, ἀνάγκη ἀθάνατον
καὶ αὐτὴν εἶναι καὶ ἀεὶ ζῆν· αἱ γὰρ περὶ
τῆς ἀθανασίας ἔννοιαι, οὐδέποτε ταύτην
ἀφίστανται μένουσαι ἐν αὐτῇ· καὶ ὥσπερ ἔκκαυ-
μα ἐν αὐτῇ γενόμεναι. πρὸς ἀσφάλειαν
τῆς ἀθανάτου ζωῆς:—

βασι ἡ ἀκριβὴς σεαυτοῦ κατανόησις, αὐτάρκη σοι
παρέξει χειραγωγίαν, καὶ πρὸς τὴν ἔννοιαν
τοῦ θυ· ἐὰν προσέχῃς σεαυτῷ, οὐδὲν δεήσῃ
ἐκ τῆς τῶν ὅλων κατασκευῆς τὸν δημιουργὸν

ἐξιχνιάζειν· ἀλλ' ἐν σεαυτῷ οἷον ἐν μικρῷ διακόσμῳ, τὴν μεγάλην κατόψει τοῦ κτίσαντός σε σοφίαν· ἀσώματον νόει τὸν θεόν· ἐκ τῆς ὑπαρχούσης σοι ψυχῆς ἀσωμάτου, μὴ περιγραφόμενον ἐν τόπῳ· ἐπειδὴ οὐδὲ ὁ σὸς νοῦς προηγουμένην ἔχει τὴν ἐν τόπῳ διατριβήν, ἀλλὰ διὰ τὴν πρὸς τὸ σῶμα συνάφειαν ἐν τόπῳ γίνεται:

Διαδό(χου) ἐπισκό(που)

Ὅταν καλῶς φρονῇ ἡ ψυχή, περιλαμπεστάτη ἐστὶν ὅλη καὶ περιχαρέστατος· ὅτε δὲ κακῶς, ἀφεγγὴς καὶ ἀθυμότατος:

Φίλ(ωνος)

Τοῦ τεχνίτου χοῦν λαβόντος καὶ μορφὴν ἀνθρωπίνην ἐξ αὐτοῦ διαπλάσαντος, τὴν ψυχὴν ὑπ' οὐδενὸς εἴληφε γενητοῦ τὸ παράπαν· ἀλλ' ἐκ τοῦ π(ατ)ρ(ὸ)ς καὶ ἡγεμόνος τῶν ἁπάντων· τὸ γὰρ ἐνεφύσησεν οὐδὲν ἦν ἕτερον ἢ π(νεῦ)μα θεῖον ἀπὸ τῆς μακαρίας καὶ εὐδαίμονος φύσεως ἐκείνης ἀποικίαν τὴν ἐνθάδε στειλάμενον ἐπ' ὠφελείᾳ τοῦ γένους ἡμῶν:

Ὁ νοῦς ἐν ἑκάστῳ ἡμῶν, τὰ μὲν ἄλλα δύναται καταλαμβάνειν, ἑαυτὸν δὲ γνωρίσαι ἀδυνάτως ἔχει· ὥσπερ γὰρ ὁ ὀφθαλμὸς τὰ μὲν ἄλλα ὁρᾷ, ἑαυτὸν δὲ οὐχ ὁρᾷ, οὕτως καὶ ὁ νοῦς ἑαυτὸν οὐ καταλαμβάνει:

Παντὸς ἀν(θρώπ)ου κατ' ἀρχὰς ἅμα τῇ γενέσει, κυοφορεῖ δίδυμα ἡ ψυχή· κακὸν καὶ ἀγαθόν· ἑκά

πρὸ μὲν φαμὲν τὰ αἰσθητὰ [illegible] τῆς ψυχῆς
τὸ εἶδος. οὐκ ἐκ τῶν αὐτῶν στοιχείων
ἐξ ὧν τὰ ἄλλα ἀπετέλεσε τὰ δι' [illegible]
καθαρωτέρας δὲ καὶ ἀμείνονος ἐμψύχου
τῆς οὐσίας· ἐξ ἧς καὶ αἱ θεῖαι φύσεις ἐδη-
μιουργοῦντο:

περὶ ψιθυρισμοῦ καὶ ψιθυριστῶν: σξθ

σιρά· μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων.
καὶ ἐν παροικήσει μισηθήσεται:
ψίθυρον καὶ δίγλωσσον καταρᾶσθαι· πολ-
λοὺς γὰρ εἰρηνεύοντας ἀπώλεσεν:
μὴ κληθῇς ψίθυρος. καὶ τῇ γλώσσῃ σου μὴ
ἐνέδρευε· ἐπὶ γὰρ τῷ κλέπτῃ ἐστὶν αἰσχύνη.
καὶ κατάγνωσις πονηρὰ ἐπὶ διγλώσσου:

περὶ ψεύδους καὶ συκοφαντίας:

γενέσεως· οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησί-
ον σου. μαρτυρίαν ψευδῆ:
δαδ ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος:
ἐξολοθρεύσει κ(ύριο)ς πάντα τὰ χείλη τὰ δόλια:
παροιμ ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀ-
νέμους· ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα:
γλῶσσαν ψευδῆ, μισεῖ ἀληθινός: ÷ μάταιον
λόγον καὶ ψευδῆ. μακρὰν ποίησον ἀπ' ἐμοῦ:
μάρτυς ψευδής, οὐκ ἀτιμώρητος ἔσται· μάρ-
τυς ψευδὴς ἀπολεῖται:
ἡ συκοφαντία περιφέρει σοφόν. καὶ ἀπολεῖ
τὴν καρδίαν εὐτονίας αὐτοῦ: στόμα καὶ
καταψευδόμενον. ἀναιρεῖ ψυχήν:

Ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε· ὅτι ταῦτα πάντα μι-
σῶ ἐμίσησα λέγει κς παντοκράτωρ :—

σιρα ※ μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος· ὁ γὰρ ἐνδε-
λεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν ἐστιν :—

[illegible] μος πονηρὸς ἐν ἀνῳ, ψεῦδος :—

βασι Οὐ τὰ ἐν δικαστηρίοις ὄντα ἐν ταῖς ἀλλήλων
πράξεσιν. ἐστὶ [illegible] τὸ ψεῦδος, ἀλλὰ τὴν
ὀρθὴν ὁδὸν καὶ ἀληθῆ προαιρουμένοις
τοῦ υἱοῦ :— Ἔσχατος ὅρος τῆς πονηρίας
ἐστὶ τὸ ψεῦδος :— Ἡ τῆς ἀληθείας ἀποστα-
σις. [illegible] ἐστὶ [illegible] :—

θεο Τὸ μὲν ἀληθὲς ἕν· τὸ δὲ ψεῦδος πολυσχιδές :—

※ Τὸ ψεῦδος ὑπὲρ [illegible]· ἢ πρὸς ἀλλήλους πί-
στις ἀποφεύγειν· ἢ ἀληθεύειν [illegible] κατέχ-
ειν· οἱ εὐκόλως [illegible] τὸ ψεῦδος προσκρούουσιν
ἀλλήλοις ψευδόμενοι· τοὺς ὅρκους ἀμνη-
μονοῦσιν· Εἰς τὸ ὀμνύειν [illegible] τὸν θεὸν
ἐστι [illegible] :— ∴ — ∴ — ∴ — ∴ — ※

σο ※ Ὥρας θανάτου· ὅτι ἡ πρὸς τὴν θείαν καὶ σω-
τήριον ἐντολὴν παρακοή. τῆς κατὰ χά-
ριν τοῦ δημιουργοῦ ἀφθαρσίας καὶ ἀθανα-
σίας ἀπεστέρησεν ἡμᾶς. καὶ τῷ μόχθῳ
παρέδωκε καὶ τῷ θανάτῳ :—

γενέσεως· Εἶπεν ὁ θς τῷ Ἀδάμ· ὅτι ἤκουσας τῆς φω-
νῆς τῆς γυναικός σου. καὶ ἔφαγες ἀπὸ τοῦ ξύ-
λου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φα-
γεῖν ἀπ' αὐτοῦ ἔφαγες. ἐπικατάρατος ἡ γῆ ἐν
τοῖς ἔργοις σου· ἐν λύπαις φάγῃ αὐτὴν πάσας

τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας
καὶ τριβόλους ἀνατελεῖ σοι· καὶ φάγῃ
τὸν χόρτον· ἐν ἱδρῶτι τοῦ προσώπου
σου φάγῃ τὸν ἄρτον σου· ἕως τοῦ ἀπο
στρέψαι σε εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης· ὅ
τι γῆ εἶ. καὶ εἰς γῆν ἀπελεύσῃ:—

ἰὼβ· θάνατος, ἀνδρὶ ἀνάπαυσις:—

παροι ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου. καὶ πα
ρασκευάζου εἰς τὸν ἀγρόν:—

ἐκκλη· τὰ πάντα ἐγένετο ἀπὸ χοός. καὶ τὰ πάντα
ἐπιστρέφει εἰς τὸν χοῦν:—
ἀγαθὸν ἡμέρα θανάτου ἀνθρώπου. ὑπὲρ ἡμέραν
γεννήσεως αὐτοῦ· ἀγαθὸν πορευθῆναι εἰς οἶ
κον πένθους. ἢ πορευθῆναι εἰς οἶκον πότου:
καρδία σοφῶν. ἐν οἴκῳ πένθους· καὶ καρδία
ἀφρόνων, ἐν οἴκῳ εὐφροσύνης:—

σοφίας ὁ θεὸς θάνατον οὐκ ἐποίησεν· οὐδὲ τέρπεται
ἐπ᾽ ἀπωλείᾳ ζώντων: ἔκτισε γὰρ εἰς
τὸ εἶναι τὰ πάντα· καὶ σωτήριοι αἱ γενέσεις
τοῦ κόσμου· καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον
ὀλέθρου· οὐδὲ ᾅδου βασίλειον ἐπὶ γῆς:—

σιράχ ἐπὶ νεκροῖ μὴ ἀποκωλύσῃς χάριν· καὶ μετὰ
πενθούντων πένθησον:— ἐν πᾶσι τοῖς
ἔργοις σου:— ὥσπερ φύλλον θάλλον ἐπὶ
δένδρου δασέος· ὃ τὰ μὲν καταβάλλει
ἄλλα δὲ φύει. οὕτως γενεὰ σαρκὸς καὶ αἵμα
τος· ἡ μὲν τελευτᾷ, ἄλλη δὲ γεννᾶται· καὶ
πᾶν ἔργον σηπόμενον ἐκλείπει· καὶ ὁ ἐργα

ζόμενος αὐτὸ μετ' αὐτοῦ ἀπελεύσεται· καὶ οἱ
ἄνθρωποι πάντες. γῆ καὶ σποδός :—
ἐν συντελείᾳ ἀνθρώπου. ἀποκάλυψις ἔργων αὐτοῦ :—
μουσικὴ ἐν πένθει. ἄκαιρος διήγησις :—
Ὦ θάνατε. ὡς πικρόν σου τὸ μνημόσυνον·
ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐ-
τοῦ· καὶ ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδου-
μένῳ ἐν πᾶσι. καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι
τροφήν :— Ὦ θάνατε. καλόν σου τὸ
κρίμα ἐστίν· ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλασ-
σουμένῳ ἰσχύι ἐσχάτῳ γήρᾳ. καὶ περισπω-
μένῳ περὶ πάντων :—

βασι Ἐπιστενάζειν μὲν ταῖς συμφοραῖς τῶν πεν-
θούντων ἀκόλουθον· οὕτω γὰρ ἑαυτὸν
οἰκειώσῃ τοῖς πᾶσιν· μὴ καθηττώ-
μενος τῶν συμφορῶν. μὴ δὲ ἀδιαφορῶν
τοῖς οἰκείοις ἀλγήμασιν :—

θεο μὴ πενθῶμεν Καισάριον. οἵων ἀπηλλάγη
κακῶν εἰδότες· ἀλλὰ μᾶλλον ἑαυτούς, οἵ-
οις ὑπελείφθημεν καὶ οἷα θησαυρίσομεν :—
Ὅπερ ἐστὶ τοῖς πλέουσι λιμὴν εὔδιος, τοῦτο
τοῖς ἐνταῦθα χειμαζομένοις. ἡ ἐκεῖσε

φίλ. μετάστασις :— ἄνθρωποι μὲν γάρ. πέρας
τιμωριῶν εἶναι νομίζουσι τὸν θάνατον·
ἐν δὲ τῷ θείῳ δικαστηρίῳ. μόλις οὗτος
ἐστὶν ἀρχή :—

εὐαγ γρηγορεῖτε. ὅτι οὐκ οἴδατε τὴν ὥραν οὐδὲ
τὴν ἡμέραν :— ἔστωσαν ὑμῶν αἱ ὀσφύες

περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι·
καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις
τὸν κύριον ἑαυτῶν πότε ἀναλύσῃ ἐκ τῶν γάμων·
Λουκ ἵνα ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοί-
ξωσιν αὐτῷ:—

Βασι Προσήκει τὸν ἀρχόμενον τοῦ ἰοῦ. ἐν ὀφθαλ-
μοῖς ἔχειν τὴν θεραπείαν:— μηδείς σε ἐξα-
πατάτω κενοῖς λόγοις. ἐπιστήσεται γάρ σοι
αἰφνίδιος ὄλεθρος. καὶ ἡ καταστροφὴ ὁμοί-
ως καταιγίδι:— μακαρία ψυχή, ἡ νύκτας
καὶ ἡμέρας μηδὲ μίαν ἄλλην μέριμναν
στρέφουσα, ἢ πῶς ἐπὶ τῆς μεγάλης ἡμέρας
καθ᾽ ἣν πᾶσα ἡ κτίσις παραστήσεται τὸν
κριτήν, τὰς εὐθύνας τῶν πεπραγμένων
ἀποδιδοῦσα. ὁ γὰρ ἐκείνην τὴν ἡμέραν
καὶ τὴν ὥραν πρὸ ὀφθαλμῶν τιθέμενος.
καὶ ἀεὶ μελετῶν τὴν ἐπὶ τοῦ ἀπαραλογίστου
κριτηρίου ἀπολογίαν, ὁ τοιοῦτος ἢ οὐδέν,
ἢ πάνυ γε ὡς βραχύτατα ἁμαρτήσεται· διό-
τι τὸ ἁμαρτάνειν ἡμῖν, κατὰ ἀπουσίαν
τοῦ θείου φόβου γίνεται· οἷς δ᾽ ἂν ἐναρ-
γὴς παρῇ τῶν ἀπειλουμένων ἡ προσδο-
κία. οὐδένα καιρὸν δώσει τοῖς τοιούτοις
ὁ σύνοικος φόβος. εἰς ἀνοήτους πρά-
ξεις ἢ ἐνθυμήματα ἐκπίπτειν:—

Θεο ἀνόνητα μεταγινώσκει τις ἐπὶ ταῖς τελευ-
ταίαις ἁμαρτήμασι. ἢ νῦν καὶ ἀγνοούμενον ἕκα-
στος τῶν ἑαυτοῦ κριτής. διὰ τὸ ἐκεῖ δικαστήριον:—

ἐκ τῶν γνωμ(ικῶν) Ἀεὶ μὲν ἐργάζοιο τὴν σωτηρίαν· καιρὸς δὲ δὴ
μάλιστα ἡ [illegible]· τὸ γῆρας ἡμῖν ἔ-
ξοδον κηρύσσουσα· παῖς ὢν ὑπερ[illegible]ζου:—

✱ ✱ Περὶ μοναχῶν καὶ τῆς ἀσκήσεως αὐτῶν:— ✱ σοφ

✱ στρα ἡσαΐ ον Θησαυρίζει κ(αὶ) τοῖς κατορθοῦσι σωτηρίαν:—
Ἀβραὰμ ἀποσπᾶται ὅτι ἡσυχάζων τὸ ἐν τῇ γῇ:—
Τέκνον· εἰ προσέρχῃ δουλεύειν τῷ κ(υρί)ῳ, ἑτοί-
μασον τὴν ψυχήν σου εἰς πειρασμόν:—
λουκ(ᾶ) Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν
ὁ π(ατ)ὴρ δοῦναι ὑμῖν τὴν βασιλείαν αὐτοῦ:—
Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον:
Οὐδεὶς οἰκέτης δύναται δυσὶ κ(υρίοις) δου-
λεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει. καὶ τὸν ἕτερον
ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου
καταφρονήσει· οὐ δύνασθε θ(ε)ῷ δουλεύειν καὶ μαμωνᾷ:—
Ἀμὴν λέγω ὑμῖν· οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκί-
αν ἢ γονεῖς· ἢ ἀδελφούς· ἢ ἀδελφάς· ἢ γυναῖ-
κα ἢ τέκνα· ἕνεκεν τῆς βασιλείας τοῦ θ(εο)ῦ.
ὃς ἂν μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ
καιρῷ τούτῳ· καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχο-
μένῳ ζωὴν αἰώνιον:—
ἀπ(οστόλου) Οἱ ἐν σταδίῳ τρέχοντες· πάντες μὲν τρέ-
χουσιν· εἷς δὲ λαμβάνει τὸ βραβεῖον·
οὕτως τρέχετε. ἵνα καταλάβητε. πᾶς δὲ ὁ ἀγω-
νιζόμενος. πάντα ἐγκρατεύεται:—
Ἀγαπητοὶ ἑδραῖοι γίνεσθε· ἀμετακίνητοι· πε-
ρισσεύοντες ἐν τῷ τοῦ κ(υρίο)υ· πάντοτε εἰδό- ÷ ἔργῳ
τες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν κ(υρί)ῳ:—

ἀδελφοί ἐνδυναμοῦσθε ἐν κῳ· καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· ἐν διατάξεσι:

Οὐδεὶς στρατευόμενος ἐμπλέκ [illegible] βλέπετε ἑαυτούς· ἵνα μὴ ἀπολέσητε ἃ εἰργασάμεθα· ἀλλὰ μισθὸν πλήρη ἀπολάβητε:—

Βασι τὸν ἀγωνιστὴν τὸν καλὸν ἅπαξ ἀποδυσάμενον τῆς εὐσεβείας στάδιον ἀπροσδόκητα [illegible] φέρειν χρὴ γενναίως [illegible] τῶν ἀντιπάλων· ἐπ' ἐλπίδι τῆς δόξης· τῆς ἀπὸ τῶν ἀθλ:

μιμηθῆναι δεῖ τὸν δόκιμον τῆς προσπαθείας τοῦ κόσμου. τὸν ἀεὶ λαθεῖν σπουδάζοντα ἀκολουθεῖν μᾶλλον τῷ [illegible] δὲ δι' ἀπαθείας [illegible] ἀναχωρήσεως κατορθοῦντα ὡς εἰ μὴ ἀποζευγνυμένους ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς καὶ κοινωνίας βίου· οἷον εἰ πρὸς ἕτερον κόσμον διὰ τῆς ἀσκήσεως μεθισταμένους καὶ τοῦτον εἰπόντα· ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς θν εὐαρεστήσεως:—

[illegible] ἐστιν ὡς ὅρος ὑπὸ [illegible] λοιπὸν τῶν τασσομένων τῆς νίκης ταύτης καὶ πρὸς καιροῦ ζωῆς. καὶ πρὸς τὴν ἐν οἷς πολιτεύεσθαι μελέτην:—

Οὐ πρόφασιν ἀργίας· οὐδὲ ἀποφυγὴν πόνων. τὸν τῆς εὐσεβείας σκοπὸν ἡγεῖσθαι χρή. ἀλλ' ὑπόθεσιν ἀθλήσεως:—

Ἔστιν ἐκ πόνων ὑγεία. καὶ ἐξ ἱδρώτων σρία:—

Οὕτω γινόμεθα ναὸς θῦ· ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται·

Ὁ τῶν μὲν τοῖς ἀπροσδοκήτοις παθήμασιν ὁμοίως ἐκταράττεται· ἀλλὰ πάντως ἀποφημίζων ὁ θεοφιλὴς ὅθεν ἐπὶ τὸν θεὸν ἀναχωρεῖ· καὶ [illegible] τῶν προκαλουμένων λυπηρῶν εἰς κακίαν· τοῖς προσάρ[illegible] ἐκείνων ἀρ[illegible] ἐπὶ τὴν διὰ μαρτυρίων διατριβήν:—

Θεο Ἡ σὰρξ κρατείσθω καὶ δεσμείσθω καλῶς:—

Κυρίλ λου· Χρὴ ἡμᾶς ἐπὶ μὲν τῶν [illegible] καὶ ἀσκεῖσθαι μᾶλλον· καὶ μηδὲν ἔχειν ἀμελὲς ἐπὶ τῇ δόξῃ [illegible] ἀρετὴν κατορθοῦν:—

ἄλλου Καλὸν ἡ αὐτάρκεια μετὰ συνειδήσεως· καὶ γνώσεως [illegible]:—

Σέξ πυθαγ· ἄρχειν δεῖ τοῦ ἐγκρατεῖ, καὶ τοῖς ὄχλοις ἀπαλλάττειν· ἵνα τὸν νοῦν ἀπερίσπαστον ἔχῃ. καὶ τὴν καρδίαν ἀτάραχον· πολλὴ γὰρ ἐν τοῖς ὄχλοις ἡ ταραχή:—

Κλή μεντ Οὐ τῶν καθευδόντων καὶ βλακευόντων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. ἀλλὰ τῶν βιαστῶν· βιασταὶ γὰρ ἁρπάζουσιν αὐτήν:— ἀμήν:—

* * *

Τῷ συντελεστῇ τῶν καλῶν θεῷ, χάρις:—

## παρεκβολαὶ ἐκ τῶν παροιμιῶν:–

σολομῶντος:

Ἐπειδὴ ἐκάλουν καὶ οὐχ ὑπηκούσατε· καὶ ἐξέτεινον λόγους καὶ οὐ προσείχετε· τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι:– ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με· ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν:–

Ζητήσουσί με κακοὶ καὶ οὐχ εὑρήσουσιν· ἐμίσησαν γὰρ σοφίαν· τὸν δὲ φόβον κυ οὐ προείλαντο· οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς· ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρπούς· καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται:–

Ὁ ἐμοῦ ἀκούων, κατασκηνώσει ἐπ' ἐλπίδι· καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ:–

Τίμα τὸν κν, ἀπὸ σῶν δικαίων πόνων· καὶ ἀπάρχου αὐτῷ, ἀπὸ σῶν καρπῶν δικαιοσύνης· ἵνα πιμπλῶνται, τὰ ταμιεῖα σου σίτου· οἴνου δὲ αἱ ληνοί σου ἐκβλύζωσιν:–

Μὴ ἐκκλίνῃς εἰς τὰ δεξιά, μηδὲ εἰς τὰ ἀριστερά· ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς· ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ θς· διεστραμμέναι δὲ εἰσίν, αἱ ἐξ ἀριστερῶν:–

ὀκνη
ων

Ἴθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρέ:– ἢ πορεύθητι πρὸς τὴν μέλισσαν· καὶ μάθε ὡς ἐργάτις ἐστί:–

Ἕως τίνος ὀκνηρὲ κατάκεισαι· πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ· ὀλίγον μὲν ὑπνοῖς· ὀλίγον δὲ κάθησαι· μικρὸν δὲ νυστάζεις· ὀλίγον δὲ ἐναγκαλίζῃ χερ

στήθη· εἶτα παραγίνεταί σοι ὥσπερ ὁδοιπόρος
ἡ πενία. καὶ ἡ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς·
ἐὰν δὲ ἄοκνος ᾖς. ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός
σου· καὶ ἡ ἔνδεια, ὥσπερ κακὸς ἀνὴρ
ἀπαυτομολήσει:— πενία, ἄνδρα ταπεινοῖ.
χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν:—
υἱὸς πεπαιδευμένος, σοφὸς ἔσται· τῷ δὲ ἄφρονι
διακόνῳ χρήσεται:— εὐλογία κυ. ἐπὶ
κεφαλὴν δικαίου:— σοφὸς καρδίᾳ, δέξεται
ἐντολάς· ὁ δὲ ἄστεγος χείλεσι, σκολιάζων
ὑποσκελισθήσεται:— ὁ ἐλέγχων μετὰ παρρησίας,
εἰρηνοποιεῖ:— ὃς ἐκ χειλέων προφέρει σοφίαν. ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον:—
τῇ ψυχῇ αὐτοῦ ἀγαθοποιεῖ ἀνὴρ ἐλεήμων· ἐξόλλυσι
δὲ σῶμα αὐτοῦ ὁ ἀνελεήμων:— ὁ σπείρων
δικαιοσύνην. λήψεται μισθὸν πιστόν:—
Εἰσὶν οἱ τὰ ἴδια σπείροντες. πλείονα ποιοῦσιν·
εἰσὶ δὲ καὶ οἱ συνάγοντες. ἐλαττονοῦνται:—
εὐλογία εἰς κεφαλὴν τοῦ μεταδιδόντος·
δι' ἁμαρτίας χειλέων, ἐμπίπτει εἰς παγίδας
ἁμαρτωλός:— ὁδοὶ ἀφρόνων, ὀρθαὶ ἐνώπιον
αὐτῶν· εἰσακούει δὲ συμβουλίας σοφός:—
ἄφρων, αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ·
κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν. πανοῦργος:—
χειμη [illegible], κατορθοῖ μαρτυρίαν· ὁ δὲ
μάρτυς τῶν ἀδίκων δόλιος:—
Ὕπαρξις ἐστὶ σπουδαζομένη μετὰ ἀνομίας. ἐλάσσων
γίνεται· ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας.
πληθυνθήσεται:—

Ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπο-
ρευόμενος ἄφροσι, γνωσθήσεται:—
ἁμαρτάνοντας καταδιώξεται κακά· τοὺς δὲ δι-
καίους καταλήψεται ἀγαθά:— ζητήσεις σο-
φίαν παρὰ κακοῖς, καὶ οὐχ εὑρήσεις· αἴσθησις
δὲ παρὰ φρονίμοις εὐχερής:—
Ἐὰν ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρ' ἀνθρώποις· τὰ
δὲ τελευταῖα αὐτῆς, ἔρχεται εἰς πυθμένα ᾅδου:—
τῶν ἑαυτοῦ ὁδῶν πλησθήσεται θρασυκάρδιος·
ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ, ἀνὴρ ἀγα-
θὸς ἐπιγινώσκεται:— φίλοι, μισήσου-
σι φίλους πτωχούς· φίλοι δὲ πλουσίων, πολλοί:—
Ὁ ἀτιμάζων πένητας ἁμαρτάνει· ὁ δὲ ἐλεῶν
πτωχούς, μακαριστός:— δεκτὸς βασιλεῖ ὑπη-
ρέτης νοήμων· τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ, ἀφαιρεῖται ἀτιμίαν:—
Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους· ἀπόκρισις δὲ ὑπο-
πίπτουσα, ἀποστρέφει θυμόν:— λόγος λυπη-
ρὸς ἐγείρει ὀργάς:— γλῶσσα σοφῶν καλὰ
ἐπίσταται· στόμα δὲ ἀφρόνων ἀναγγελεῖ κακά:—
ἐν ὁδῷ τις ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι:—
ἀντιλογίας παύει σιγηρός:— ἀφροσύνη
ἀνδρός, λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ· τὸν δὲ
θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ:—
μάρτυς ψευδής, οὐκ ἀτιμώρητος ἔσται:— ὃς δ' ἂν
ἐκκαύσῃ κακίαν, ἀπολεῖται ὑπ' αὐτῆς:—
δόξα ἀνδρί, ἀποστρέφεσθαι λοιδορίας· πᾶς
δὲ ἄφρων, τοιούτοις συμπλέκεται:— μερὶς
ἐπισπουδαζομένη ἐν πρώτοις, ἐν τοῖς τελευταί-
οις οὐκ εὐλογηθήσεται:—

ἐλεημοσύνη καὶ ἀλήθεια· φυλακὴ βασιλεῖ· καὶ πε
ρικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ:—
ὥσπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως
ἐν χειρὶ θῦ· οὗ δ' ἂν θέλων νεύσῃ, ἐκεῖ ἔκλι
νεν αὐτήν:— κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας
ὑπαίθρου. ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας:—
πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον.
κραταιῶς αὐτὸς παιδεύεται· οἱ δὲ ἄφρονες
παρελθόντες ἐζημιώθησαν:—
ἀπαιδεύτοις σιμὸν τοῦ θανάτου· ἀποθνήσ
κει δὲ ἄφρων ἐν ἁμαρτίαις:—
ῥῦσαι ἀγομένους εἰς θάνατον· καὶ ἐκπρίου
κτεινομένους μὴ φείσῃ:—
δύο αἰτοῦμαι παρὰ σοῦ· μὴ ἀφέλῃς μου χάριν
πρὸ τοῦ ἀποθανεῖν με· μάταιον λόγον καὶ
ψευδῆ. μακράν μου ποίησον· πλοῦτον δὲ
καὶ πενίαν. μή μοι δῷς· σύνταξον δέ μοι
τὰ δέοντα καὶ τὰ αὐτάρκη· ἵνα μὴ πλησθεὶς
ψευδὴς γένωμαι καὶ εἴπω τίς με ὁρᾷ· ἢ πενη
θεὶς κλέψω καὶ ὀμόσω τὸ ὄνομα τοῦ θῦ:—
μὴ παραδῷς οἰκέτην εἰς χεῖρας δεσπότου·
μήποτε καταράσηταί σε καὶ ἀφανισθῇς:—
τρία ἐστὶν ἀδύνατά μοι νοῆσαι· καὶ τὸ τέταρτ
οὐκ ἐπιγινώσκω· ἴχνη ἀετοῦ πετομένου·
καὶ ὁδοὺς ὄφεως ἐπὶ πέτρας· καὶ τρίβους νηὸς
ποντοπορούσης· καὶ ὁδοὺς ἀνδρὸς ἐν νεό
τητι· τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος· ἣ
ὅταν πράξῃ ἀπονιψαμένη. οὐδέν φησι πεπρα
χέναι ἄτοπον:—

τέσσαρα εἰσὶν ἐλάχιστα ἐπὶ τῆς γῆς· ταῦτα δὲ ἐστὶ σοφώτερα τῶν σοφῶν· οἱ μύρμηκες οἷς μὴ ἔστιν ἰσχύς. καὶ ἑτοιμάζονται θέρους τὴν τροφήν· καὶ οἱ χοιρογρύλλιοι ἔθνος οὐκ ἰσχυρόν· οἱ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους· ἀβασίλευτόν ἐστιν ἡ ἀκρίς· καὶ ἐκστρατεύει ἀφ' ἑνὸς κελεύσματος εὐτάκτως· καὶ ἀσκαλαβώτης χερσὶν ἐρειδόμενος καὶ εὐάλωτος ὤν. κατοικεῖ ἐν ὀχυρώμασι βασιλέων:— ἄμελγε γάλα. καὶ ἔσται βούτυρον· ἐὰν δὲ ἐκπιέζῃς μυκτῆρας ἐξελεύσεται αἷμα· ἐὰν δὲ ἐξέλκῃς λόγους. ἐξελεύσονται κρίσεις καὶ μάχαι:— ἄνοιγε σὸν στόμα λόγῳ θεοῦ καὶ κρῖνε πάντας ὑγιῶς· ἄνοιγε σὸν στόμα, καὶ κρῖνε δικαίως· διάκρινε δὲ πένητα καὶ ἀσθενῆ:— δόξα θεοῦ κρύπτει λόγον· δόξα δὲ βασιλέως, τιμᾷ πράγματα· οὐρανὸς ὑψηλός, γῆ δὲ βαθεῖα· καρδία δὲ βασιλέως ἀνεξέλεγκτος:— τύπτε ἀδόκιμον ἀργύριον. καὶ καθαρισθήσεται ἅπαν:— ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε· μὴ πρόσπιπτε εἰς μάχην ταχέως· ἵνα μὴ μεταμεληθῇς ἐπ' ἐσχάτων:— ἄνεμος βορρᾶς, ἐξεγείρει νέφη· πρόσωπον δὲ ἀναιδές, γλῶσσαν ἐρεθίζει:— ἐὰν πεινᾷ ὁ ἐχθρός σου τρέφε αὐτόν· ἐὰν διψᾷ. πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ· ὁ δὲ κς ἀνταποδώσει σοι ἀγαθά:— μὴ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἐκείνου ἀφροσύνην·

ἵνα μὴ ὅμοιος γένῃ αὐτῷ· ἀλλὰ ἀποκρίνου
ἄφρονι πρὸς τὴν ἐκείνου ἀφροσύνην. ἵνα
μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ:—
ὥσπερ ὁ κρατῶν κέρκου κυνὸς, οὕτως ὁ προ
εστὼς ἀλλοτρίας κρίσεως:— ἐάν σου δέ
ηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ μὴ πεισθῇς
αὐτῷ· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ καρδίᾳ αὐτοῦ:—
ὁ κρύπτων ἔχθραν, συνίστησι δόλον· ἐκκα
λύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας. εὔγνω
στος ἐν συνεδρίοις:— ὁ ὀρύσσων βόθρον
τῷ πλησίον. ἐμπεσεῖται εἰς αὐτόν· ὁ δὲ κυ
λίων λίθον. ἐφ' ἑαυτὸν κυλίει:—
γλῶσσα ἄδικος. μισεῖ ἀλήθειαν· στόμα δὲ ἄ
στεγον ποιεῖ ἀκαταστασίας:—
κρείσσων ἔλεγχοι ἀποκαλυπτόμενοι. κρυπτομέ
νης φιλίας:— ἀξιοπιστότερα τραύματα
φίλου. ἢ ἑκούσια φιλήματα ἐχθροῦ:—
σίδηρος σίδηρον ὀξύνει· ἀνὴρ δὲ παροξύνει
πρόσωπον ἑταίρου:— ὥσπερ οὐχ ὅμοια πρό
σωπα προσώποις. οὕτως οὐδὲ αἱ καρδίαι
τῶν ἀνθρώπων ὅμοιαι:— φεύγει ἀσεβὴς μηδενὸς
διώκοντος· δίκαιος δὲ ὥσπερ λέων πέποιθεν:—
δι' ἁμαρτίας ἀσεβῶν. κρίσεις ἐγείρονται· ἀνὴρ
δὲ πανοῦργος κατασβέσει αὐτάς:— ἀνδρεῖος
ἐν ἀσεβείαις. συκοφαντεῖ πτωχούς:—
ἄνδρες κακοὶ οὐ νοήσουσι κρίμα· οἱ δὲ ζητοῦν
τες τὸν κύριον. συνήσουσιν ἐν παντί:— ὁ ἐπι
καλύπτων ἀσέβειαν αὐτοῦ, οὐκ εὐοδωθήσεται·

ὁ δὲ ἐξηγούμενος καὶ ἐλέγχων. ἀγαπηθήσεται:
μακάριος ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν·
ὁ δὲ σκληρὸς τὴν καρδίαν. ἐμπεσεῖται κακοῖς:—
Ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν. πλησθήσεται ἄρτων· ὁ δὲ διώκων σχολήν. πλησθήσεται πενίας:— Ὁ ἐλέγχων ἀνθρώπου ὁδούς. χάριτας ἕξει μᾶλλον τοῦ γλωσσοχαριτοῦντος:—
Κρείσσων ἀνὴρ ἐλέγχων. ἀνδρὸς σκληροτραχήλου:—
Βασιλεὺς δίκαιος. ἀνίστησι χώραν· ἀνὴρ δὲ παράνομος κατασκάπτει:—
Βασιλέως ὑπακούοντος λόγον ἄδικον. πάντες οἱ ὑπ' αὐτὸν παράνομοι:— Βασιλεὺς ἐν ἀληθείᾳ κρίνων πτωχούς. ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται:—
Ὕβρις, ἄνδρα ταπεινοῖ· τοὺς δὲ ταπεινόφρονας, ἐρείδει δόξῃ κύριος:— Πολλοὶ θεραπεύουσι πρόσωπα ἡγουμένων· παρὰ δὲ κυρίου. γίνεται τὸ δίκαιον ἀνδρί:—
Βδέλυγμα δίκαιος ἀνήρ, ἀνδρὶ ἀδίκῳ· βδέλυγμα δὲ ἀνόμῳ. κατευθύνουσα ὁδός:—
Ὁ δεῖ ἀνδρός, πρὸ προσώπου αὐτοῦ πορεύεσθαι:—

* * *

## Παρεκβολαί, ἐκ τοῦ Ἐκκλησιαστοῦ:—

Γενεὰ πορεύεται. καὶ γενεὰ ἔρχεται· ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν:—
Ἐμίσησα ἐγὼ σύμπαντα τὸν μόχθον μου. ὃν ἐγὼ μοχθῶ ὑπὸ τὸν ἥλιον· ὅτι ἀφίω αὐτὸν τῷ

ἀνθρώπῳ τῷ γενησομένῳ μετ' ἐμέ· καὶ τίς οἶ-
δεν εἰ σοφὸς ἔσται ἢ ἄφρων· καὶ ἐξουσιάσεται
ἐν παντὶ μόχθῳ μου· ᾧ ἐμόχθησα ϗ ᾧ
ἐσοφισάμην ὑπὸ τὸν ἥλιον· καί γε τοῦτο μα-
ταιότης:— ἔδωκεν ὁ θεὸς πρὸ προσώπου
τοῦ ἀγαθοῦ ἀνου, σοφίαν ϗ γνῶσιν ϗ εὐφρο-
σύνην· τῷ δὲ ἁμαρτάνοντι, ἔδωκε περι-
σπασμόν· τοῦ προσθεῖναι ϗ τοῦ συναγαγεῖν:—
Καιρὸς τοῦ ἀποκτεῖναι. καὶ καιρὸς τοῦ ἰάσασθαι·
καιρὸς τοῦ καθελεῖν. ϗ καιρὸς τοῦ οἰκοδο-
μῆσαι· καιρὸς τοῦ κλαῦσαι. ϗ καιρὸς τοῦ γε-
λάσαι· καιρὸς τοῦ κόψασθαι. ϗ καιρὸς τοῦ ὀρ-
χήσασθαι· καιρὸς τοῦ ζητῆσαι. ϗ καιρὸς τοῦ
ἀπολέσαι· καιρὸς τοῦ φυλάξαι. ϗ καιρὸς
τοῦ ἐκβαλεῖν· καιρὸς τοῦ ῥῆξαι. ϗ καιρὸς
τοῦ ῥάψαι· καιρὸς τοῦ σιγᾶν. ϗ καιρὸς τοῦ
λαλεῖν· καιρὸς τοῦ φιλῆσαι. ϗ καιρὸς τοῦ
μισῆσαι· καιρὸς πολέμου. ϗ καιρὸς εἰρήνης:—
πάντα καλὰ ἐν καιρῷ αὐτῶν:—
Καιρὸς τῷ παντὶ πράγματι. καὶ ἐπὶ παν-
τὶ τῷ ποιήματι:— τὰ πάντα πορεύε-
ται εἰς τόπον ἕνα· τὰ πάντα ἐγένετο ἀπὸ
τοῦ χοός. ϗ τὰ πάντα ἐπιστρέφει εἰς τὸν χοῦν·
ἀγαθὸν πλήρωμα δρακὸς ἀναπαύσεως. ὑπὲρ
πληρώματα δύο δρακῶν μόχθου:—
πᾶσαι αἱ ἡμέραι τοῦ πλεονέκτου· ἐν σκότει καὶ
ἐν πένθει· καὶ θυμῷ πολλῷ ϗ ἀρρωστίᾳ ϗ χόλῳ:—
ἀγαθὸν ὄνομα, ὑπὲρ ἔλαιον ἀγαθόν· καὶ ἡμέρα τοῦ

θανάτου. ὑπὲρ ἡμέραν γενέσεως αὐτοῦ:—
Καρδία σοφῶν. ἐν οἴκω πένθους. καρδία ἀφρό
νων. ἐν οἴκω εὐφροσύνης:— ἀγαθὸν τὸ ἀ
κοῦσαι ἐπιτίμησιν σοφοῦ. ὑπὲρ ἄνδρα ἀ
κούοντα ᾆσμα ἀφρόνων:— Ἡ συκοφαν
τία περιφέρει σοφόν. καὶ ἀπόλλυει τὴν καρδί
αν εὐτονίας αὐτοῦ:— ἐν ἡμέρα ἀγαθωσύνης
ζῆθι ἐν ἀγαθῷ. καὶ ἴδε ἐν ἡμέρα κακίας:—
σοφία ἀνθρώπου. φωτιεῖ πρόσωπον αὐτοῦ· καὶ ἀναι
δὴς προσώπω αὐτοῦ μισηθήσεται:—
Οἱ δίκαιοι καὶ οἱ σοφοὶ καὶ αἱ καρδίαι αὐτῶν, ἐν χειρὶ θεοῦ:—
Ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν· αὐτὸς ἀγαθός. ὑπὲρ τὸν
λέοντα τὸν νεκρόν:— ἀγαθὴ σοφία ὑπὲρ
σκεύη πολέμου· καὶ ἁμαρτάνων εἷς, ἀπολέσει ἀγα
θωσύνην πολλήν:— ἐν συνειδήσει σου βασι
λέα μὴ καταράσῃ· καὶ ἐν ταμιείοις κοιτώνων
σου. μὴ καταράσῃ πλούσιον· ὅτι πετεινὸν τοῦ
οὐρανοῦ ἀποίσει τὴν φωνήν σου· καὶ ὁ ἔχων πτέρυ
γας. ἀπαγγελεῖ λόγον σου:—
Περιπάτει ἐν ὁδοῖς καρδίας σου ἄμωμος· καὶ ἐν ὁρά
σει ὀφθαλμῶν σου· καὶ γνῶθι ὅτι ἐπὶ πᾶσι τούτοις.
ἄξει σε ὁ θεὸς ἐν κρίσει:— ἀπόστησον θυμὸν
ἀπὸ καρδίας σου· καὶ παράγαγε πονηρίαν ἀπὸ σαρ
κός σου· ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης:—
ματαιότης ματαιοτήτων εἶπεν ὁ ἐκκλησιαστής.
τὰ πάντα ματαιότης:— λόγοι σοφῶν ὡς τὰ βού
κεντρα· καὶ ὡς ἧλοι πεφυτευμένοι:— υἱέ μου, φύλαξαι
τοῦ ποιῆσαι βιβλία πολλά· οὐκ ἔστι περασμὸς καὶ μελέτη
πολλή, κόπωσις σαρκός:—

## παρεκβολαὶ ἐκ τῆς σοφίας σολομῶντος:—

ὅτι ζηλώσεως ἀκροᾶται τὰ πάντα· καὶ
θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται· φυλά-
ξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ· ἀπὸ κα-
ταλαλιᾶς φείσασθε γλώσσης· ὅτι φθέγμα
λαθραῖον κενὸν οὐ πορεύσεται· στόμα δὲ
καταψευδόμενον, ἀναιρεῖ ψυχήν:—

Ὀλίγος καὶ λυπηρὸς ἐστὶν ὁ βίος ἡμῶν· καὶ οὐκ ἔ-
στιν ἴασις ἐν τελευτῇ ἀνθρώπου· καὶ οὐκ ἐγνώσθη
ὁ ἀναλύσας ἐξ ᾅδου:—

ἐνεδρεύσωμεν τὸν δίκαιον· ὅτι δύσχρηστος
ἡμῖν ἐστι· καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν·
καὶ ὀνειδίζει ἡμῖν παραπτώματα νόμου·
καὶ ἐπιφημίζει ἡμῖν, ἁμαρτήματα παι-
δείας ἡμῶν· ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοι-
ῶν ἡμῶν· βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος·
ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ· καὶ
ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ· εἰς κίβδηλον
ἐλογίσθημεν αὐτῷ· καὶ ἀπέχεται τῶν ὁδῶν
ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν:— ὕβρει καὶ
βασάνῳ ἐτάσωμεν αὐτόν· ἵνα γνῶμεν τὴν
ἐπιείκειαν αὐτοῦ· καὶ δοκιμάσωμεν τὴν ÷ ἐπι-
είκειαν αὐτοῦ· θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν:—

÷ ἀνεξικα-
κίαν αὐτοῦ·

Ὀλίγα παιδευθέντες οἱ δίκαιοι, μεγάλα εὐεργετη-
θήσονται· ὅτι ὁ θεὸς ἐπείρασεν αὐτούς· καὶ εὗρεν
αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ
ἐδοκίμασεν αὐτούς· καὶ ὡς ὁλοκάρπωμα θυσί-
ας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκο-

πῆς αὐτῶν ἀναλάμψουσιν· καὶ ὡς σπινθῆρες
ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔ-
θνη καὶ κρατήσουσι λαῶν· καὶ βασιλεύσει
αὐτῶν κ̅ς̅ εἰς τοὺς αἰῶνας :—
μακαρία στεῖρα ἡ ἀμίαντος· ἥτις οὐκ ἔγνω
κοίτην ἐν παραπτώματι· ἕξει καρπὸν
ἐν ἐπισκοπῇ ψυχῶν :— μακάριος εὐνοῦ-
χος, ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμη-
μα· μὴ δὲ ἐνθυμηθεὶς κατὰ τοῦ κ̅υ̅ πονη-
ρά· δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως
χάρις ἐκλεκτή· καὶ κλῆρος ἐν ναῷ
κ̅υ̅ θυμηρέστερος· ἀγαθῶν γὰρ πόνων
καρπὸς εὐκλεής· καὶ ἀδιάπτωτος ἡ ῥίζα
τῆς φρονήσεως· τέκνα δὲ μοιχῶν ἀτέλε-
στα ἔσται· καὶ ἐκ παρανόμου κοίτης σπέρμα
ἀφανισθήσεται :—
κρεῖσσον ἀτεκνία μετὰ ἀρετῆς· ἀθανασία
γάρ ἐστιν ἐν μνήμῃ αὐτῆς· πολύγονον δὲ
ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει :—
βασκανία φαυλότητος ἀμαυροῖ τὰ καλά·
καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον :—
τελειωθεὶς ὁ ἀνήρ, ἐλθέτω εἰς ἑαυτὸν ἀμβρώθη·
ὡς ἀγνοεῖσθαι τὴν δίοδον αὐτοῦ· οὕτως καὶ ἡμεῖς
γεννηθέντες ἐξελίπομεν· καὶ ἀρετῆς μὲν
σημεῖον οὐδὲν ἔσχομεν δεῖξαι· ἐν δὲ τῇ κα-
κίᾳ ἡμῶν κατεδαπανήθημεν· ὅτι ἐλπὶς ἀσε-
βοῦς, ὡς φερόμενος χνοῦς ὑπὸ ἀνέμου :—
ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ

περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες
πλήθους· ὅτι ἐδόθη παρὰ κυ ἡ κράτησις
ὑμῖν· καὶ ἡ δυναστεία παρὰ ὑψίστου· ὃς ἐξετά
σει ὑμῶν τὰ ἔργα· καὶ τὰς βουλὰς διερευ
νήσει· ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας,
οὐκ ἐκρίνατε ὀρθῶς· οὐδὲ ἐφυλάξατε νόμον·
οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θυ ἐπορεύθητε· φρι
κτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν· ὅτι κρίσις
ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται· ὁ γὰρ
ἐλάχιστος, συγγνωστός ἐστιν ἐλέους· δυνατοὶ
δὲ, δυνατῶς ἐτασθήσονται· οὐ γὰρ ὑποστελεῖ
ται πρόσωπον ὁ πάντων δεσπότης· οὐδὲ ἐν
τραπήσεται μέγεθος· ὅτι μικρὸν καὶ μέγαν
αὐτὸς ἐποίησεν· ὁμοίως τε προνοεῖται
περὶ πάντων· τοῖς δὲ κρατοῦσιν, ἰσχυρὰ ἐφί
σταται ἔρευνα:—

πλῆθος σοφῶν, σωτηρία κόσμου· καὶ βασιλεὺς φρό
νιμος, εὐστάθεια δήμου:— τίς ἄνθρωπος γνώ
σεται βουλὴν θυ· ἢ τίς ἐνθυμηθήσεται τί θέ
λει ὁ κς· λογισμοὶ γὰρ θνητῶν δειλοί· καὶ ἐπι
σφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν:—

δυνατωτέρα πάντων ἐστὶν ἡ εὐσέβεια· αὕτη πρα
θέντα δίκαιον οὐκ ἐγκατέλιπεν· ἀλλ' ἐξ ἁμαρ
τίας ἐρρύσατο αὐτόν· συγκατέβη αὐτῷ εἰς λάκ
κον· καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτόν· ἕως ἤνεγκ'
αὐτῷ σκῆπτρα βασιλείας· καὶ ἐξουσίαν τυραν
νούντων αὐτόν· ψευδεῖς δὲ ἔδειξε τοὺς μωμη
σαμένους αὐτόν· καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον:—

δίκαιος ὢν ὁ θς. δικαίως τὰ πάντα διέπει· ἡ
γὰρ ἰσχὺς αὐτοῦ, δικαιοσύνης ἀρχή· καὶ τὸ πάντ(ων)
δεσπόζειν, πάντων φείδεσθαι αὐτὸν ποιεῖ :—
ἀρχὴ γὰρ πορνείας, ἐπίνοια εἰδώλων· εὕρεσις δὲ
αὐτῶν, φθορὰ ζωῆς· οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς,
οὔτε εἰς τὸν αἰῶνα ἔσται· κενοδοξίᾳ γὰρ
ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον. ϛ διὰ τοῦτο
σύντομον αὐτῶν τὸ τέλος ἐπενοήθη· ἀώρῳ
γὰρ πένθει τρυχόμενος πατήρ· τοῦ ταχέως ἀ-
φαιρεθέντος τέκνου εἰκόνα ποιήσας· τὸν τό-
τε νεκρὸν ἄνθρωπον. νῦν ὡς θεὸν ἐτίμησεν· καὶ παρέ-
δωκε τοῖς ὑποχειρίοις. μυστήρια ϛ τελετάς·
εἶτ' ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος, ὡς
νόμος διεφυλάχθη· ϛ τυράννων ἐπιταγαῖς,
× ἐθρησκεύετο τὰ γλυπτά :— ··· — ··· — ··· — · — · ×
μακάριος ἀνήρ, οὗ ὁ κς ἐμνήσθη ἐν ἀγαθοῖς· ϛ ἐκυ-
κλώθη ἀπὸ ὁδοῦ πονηρᾶς ἐν μάστιγι :—
οὐκ ἐκφεύξονται οἱ ποιοῦντες τὴν ἀνομίαν, τὸ κρίμα
τοῦ θυ· τὸ γὰρ σημεῖον τῆς ἀνομίας ἐπὶ τοῦ μετώ-
που αὐτῶν· ϛ ἡ κληρονομία τῶν ἁμαρτωλῶν,
ἀπώλεια ϛ σκότος· ϛ ἡ ἀνομία αὐτ(ῶν). διώξονται
× αὐτοὺς ἕως ᾅδου κατωτάτου :— ·· — · — · — ··· — ·· × σοφία ἰησοῦ υἱοῦ σιράχ
φόβος κυ, δόξα καὶ καύχημα· ϛ εὐφροσύνη καὶ στέφανος
ἀγαλλιάματος· φόβος κυ, τέρψει καρδίαν· ϛ δώσει
εὐφροσύνην ϛ χαρὰν ϛ μακροημέρευσιν :— τῷ
φοβουμένῳ τὸν κν, εὖ ἔσται ἐπ' ἐσχάτων· ϛ ἐν ἡμέρᾳ
τελευτῆς αὐτοῦ εὐλογηθήσεται :— ὁ τιμῶν πρα,
ἐξιλάσκεται ἁμαρτίας· ϛ ὡς ὁ ἀποθησαυρίζων. ὁ δο-

ζάζων μρα αὐτοῦ· ὅτι τιμῶν πρα, εὐφρανθήσεται ἐπὶ τέκνοις· ϗ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται· ὁ δοξάζων πρα αὐτοῦ, μακροημερεύσει· καὶ ὁ εἰσακούων κυ, ἀναπαύσει μρα αὐτοῦ. καὶ ὡς δεσπόταις δουλεύσει τοῖς γεννήσασιν αὐτόν: —

Ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν· ϗ ἔναντι κυ εὑρήσεις χάριν· ὅτι μεγάλη ἡ δυναστεία κυ. καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται: —

Καρδία σκληρά, κακωθήσεται ἐπ' ἐσχάτων· ϗ ὁ ἀγαπῶν κίνδυνον, ἐν αὐτῷ ἀπολεῖται· καρδία σκληρά, βαρυνθήσεται πόνοις· ϗ ὁ ἁμαρτωλὸς, προσθήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις: —

Κλῖνον πτωχῷ τὸ οὖς σου, καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι· ἐξελοῦ ἀδικούμενον ἐκ χειρὸς ἀδικοῦντος· καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν σε· γίνου ὀρφανοῖς ὡς πηρ· ϗ ἀντὶ ἀνδρὸς τῇ μρὶ αὐτῶν. ϗ ἔσῃ ὡς υἱὸς ὑψίστου: —

μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας· ἐν γὰρ λόγῳ, γνωσθήσεται σοφία· καὶ παιδεία, ἐν ῥήματι γλώσσης: — μὴ ἀντίλεγε τῇ ἀληθείᾳ· καὶ περὶ τῆς ἀπαιδευσίας σου ἐντράπηθι· μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου· καὶ μὴ βιάζου ῥοῦν ποταμοῦ· ϗ μὴ ὑποστρώσῃς ἀνθρώπῳ μωρῷ σεαυτόν· ϗ μὴ λάμβανε πρόσωπον δυνάστου· ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ κσ ὁ θσ πολεμήσει ὑπὲρ σοῦ: — μὴ γίνου ταχὺς ἐν γλώσσῃ σου. ϗ νωθρὸς ϗ παρειμένος ἐν τοῖς ἔργοις σου: — μὴ ἴσθι ὡς λέων ἐν τῷ οἴκῳ σου. ϗ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου· μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν. καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη:—

μὴ εἴπῃς ὁ οἰκτιρμὸς τοῦ θῦ πολύς· τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται· ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτῷ. καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ:— μὴ ἀναμένε ἐπιστρέψαι ἐπὶ κν· καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡμέρας· ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ παρὰ κυ. καὶ ἐν καιρῷ ἐκδικήσεως ἐξολῇ:—

μὴ ἔπεχε ἐπὶ χρήμασιν ἀδίκοις· οὐδὲν γὰρ ὠφελήσει ἐν ἡμέρᾳ ἐπαγωγῆς. μὴ λίκμα ἐν παντὶ ἀνέμῳ· καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ· οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσσος:—

δόξα καὶ ἀτιμία ἐν λαλιᾷ· καὶ γλῶσσα ἀνου πτῶσις αὐτῷ:— κατάγνωσις πονηρά, ἐπὶ διγλώσσου:—

Οἱ εἰρηνεύοντές σοι ἔστωσαν πολλοί· οἱ δὲ σύμβουλοί σου εἷς ἀπὸ χιλίων:—

Εἰ κτᾶσαι φίλον, ἐν πειρασμῷ κτῆσαι αὐτόν. καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ· ἔστι γὰρ φίλος ἐν καιρῷ αὐτοῦ· καὶ οὐ μὴ παραμείνῃ ἐν καιρῷ θλίψεώς σου. καὶ ἔστι φίλος μετατιθέμενος εἰς ἔχθραν· καὶ μάχην ὀνειδισμοῦ σου ἀποκαλύψει. καὶ ἔστι φίλος κοινωνὸς τραπεζῶν. καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου· ἐὰν γὰρ ταπεινωθῇς, ἔσται κατὰ σοῦ. καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται:— ἀπὸ τῶν ἐχθρῶν διαχωρίσθητι. καὶ ἀπὸ τῶν φίλων πρόσεχε:

φίλος πιστός, σκέπη κραταιά· ὁ δὲ εὑρὼν αὐτόν.
εὗρε θησαυρόν· φίλος πιστός, φάρμακον ζωῆς·
καὶ οἱ φοβούμενοι τὸν κν̄ εὑρήσουσιν αὐτόν:—
ἐὰν ἴδῃς ἄνδρα συνετόν, ὄρθριζε πρὸς αὐτόν· ϗ βα-
θμοὺς θυρῶν αὐτοῦ. ἐκτριβέτω ὁ πούς σου:—
Διανοοῦ ἐν τοῖς προστάγμασι κῡ· ϗ ἐν ταῖς ἐντο-
λαῖς αὐτοῦ μελέτα διαπαντός:— μὴ θέλε ψεύ-
δεσθαι πᾶν ψεῦδος· ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ
οὐκ εἰς ἀγαθόν:— τέκνα σοί ἐστι, παίδευσον
αὐτά· καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν:
θυγατέρες σοί εἰσι. πρόσεχε τῷ σώματι αὐτῶν· ϗ
μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου·
ἔκδος θυγατέρα. καὶ ἔσῃ τετελεκὼς ἔργον
μέγα· ϗ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν:—
μὴ διαμάχου μετὰ ἀνου δυνάστου· μή ποτε ἐμπέσῃς
εἰς τὰς χεῖρας αὐτοῦ:— μὴ ἔριζε μετὰ ἀνου
πλουσίου· μή ποτε ἀντιστήσῃ σου τὴν ὁλκήν· πολ-
λοὺς γὰρ ἀπώλεσε τὸ χρυσίον. ϗ καρδίας βασι-
λέων ἐξέκλινε:— μὴ ὑπάντα γυναικὶ ἑται-
ριζομένῃ· μή ποτε ἐμπέσῃς εἰς τὰς παγίδας
αὐτῆς:— μετὰ ψαλλούσης μὴ ἐνδελέχιζε· μή πο-
τε ἁλῷς ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῆς:— μὴ δῷς
πόρναις τὴν ψυχήν σου· ἵνα μὴ ἀπολέσῃς τὴν
κληρονομίαν σου· μὴ περιβλέπου ἐν ῥύμαις πόλεως
καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ:— ἀπόστρε-
ψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου· ϗ μὴ κατα-
μάνθανε κάλλος ἀλλότριον· ἐν γὰρ κάλλει γυναι-
κός, πολλοὶ ἐπλανήθησαν:—

ἀσθενεῖ· ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ καὶ μὴ δῷς
αὐτῷ· ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ· διπλά
σια γὰρ κακὰ εὑρήσεις ἐν πᾶσιν ἀγαθοῖς
οἷς ἐὰν ποιήσῃς αὐτῷ· ὅτι καὶ ὁ ὕψιστος ἐμίση
σεν ἁμαρτωλούς. καὶ τοῖς ἀσεβέσιν ἀποδώσει
ἐκδίκησιν: — ἐν ἀγαθοῖς ἀνδρός, οἱ ἐχθροὶ αὐ
τοῦ ἐν λύπῃ· καὶ τοῖς κακοῖς αὐτοῦ ὁ φίλος δια
χωρισθήσεται: μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς αἰῶνα: —
Βάρος ὑπὲρ σέ, μὴ ἄρῃς· εἰ ἰσχυροτέρῳ σου καὶ πλουσιω
τέρῳ μὴ κοινώνει: — πᾶν ζῷον ἀγαπᾷ τὸ ὅ
μοιον αὐτῷ· καὶ πᾶς ἄνος τὸν πλησίον αὐτοῦ: —
πετεινὰ πρὸς τὰ ὅμοια καταλύει· καὶ πᾶσα σὰρξ
κατὰ γένος συνάγεται· καὶ τῷ ὁμοίῳ αὐτοῦ πρὸς
κολληθήσεται ἀνήρ: — κυνήγια λεόντων· ὄναγροι
ἐν ἐρήμῳ· οὕτως νομαὶ πλουσίων πτωχοί: —
πλούσιος σαλευόμενος, στηρίζεται ὑπὸ φίλ· ταπεινὸς
δὲ πεσὼν· προσαπωθεῖται ὑπὸ φίλ· πλουσίου
σφαλέντος· πολλοὶ ἀντιλήπτορες· ἐλάλησεν
ἀπόρρητα καὶ ἐδικαίωσαν αὐτόν: ταπεινὸς ἔσφα
λε. καὶ προσεπετίμησαν αὐτῷ· ἐφθέγξατο σύνεσιν
καὶ οὐκ ἐδόθη αὐτῷ τόπος: — πλούσιος ἐλάλη
σεν. καὶ πάντες ἐσίγησαν· καὶ τὸν λόγον αὐτοῦ ἀνύ
ψωσαν ἕως τῶν νεφελῶν· πτωχὸς ἐλάλησεν.
καὶ εἶπαν τίς οὗτος: — ὁ συνάγων ἀπὸ τῆς ψυχῆς
αὐτοῦ, συνάγει ἄλλοις· καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυ
φήσουσιν ἕτεροι: — ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθὸς
ἔσται· καὶ οὐκ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ·
τοῦ βασκαίνοντος ἑαυτόν, οὐκ ἔστι πονηρότερος: καὶ

τοῦτο ἀνταπόδομα τῆς κακίας αὐτοῦ:—

Ὀφθαλμὸς πονηρὸς, φθονερὸς ἐπ' ἄρτῳ· καὶ ἐλλιπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ:—

Τέκνον· καθὼς ἐὰν ἔχῃς, εὖ ποίει σεαυτῷ· καὶ προσφορὰς κω ἀξίως πρόσαγε· μνήσθητι ὅτι ὁ θάνατος οὐ χρονιεῖ· καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι:— πᾶν ἔργον σηπόμενον ἐκλείπει· καὶ ὁ ἐργαζόμενος αὐτὸ, μετ' αὐτοῦ ἀπελεύσεται:— Οὐ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ ὁ θς· πᾶν γὰρ βδέλυγμα ἐμίσησεν:— ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος· ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ· ὅτι πολλὴ ἡ σοφία τοῦ κυ· ἰσχυρὸς ἐν δυναστείᾳ καὶ βλέπων τὰ πάντα:—

Κρεῖσσον εἷς δίκαιος ποιῶν θέλημα κυ, ἢ χίλιοι παράνομοι· καὶ ἀποθανεῖν ἄτεκνον, ἢ ἔχειν τέκνα ἀσεβῆ:— ἀνὴρ ἄφρων καὶ πλανώμενος, διανοεῖται μωρά:—

Ἐλεημοσύνη ἀνδρὸς, ὡς σφραγὶς μετ' αὐτοῦ· καὶ χάριν ἀνου ὡς κόρην συντηρήσει· καὶ μετὰ ταῦτα ἐξαναστήσεται καὶ ἀνταποδώσει αὐτοῖς· καὶ τὸ ἀνταπόδομα αὐτῶν, εἰς κεφαλὴν αὐτῶν ἀνταποδώσει:—

Ἔλεος ἀνου ἐπὶ τὸν πλησίον αὐτοῦ· ἔλεος δὲ κυ, ἐπὶ πᾶσαν σάρκα· ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων· ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ· τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ· καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ:—

πρὸ ἀρρωστίας θεραπεύου· καὶ πρὸ κρίσεως ἐξέ
ταζε ἑαυτόν· ς ἐν ὥρᾳ ἐπισκοπῆς· εὑρήσεις
ἐξιλασμόν:— πρὶν ἀρρωστῆσαί σε ταπεινώ
θητι· καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν:—
μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως·
καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι·
καὶ μὴ γίνου ὡς ἄνος πειράζων τὸν κν:—
μνήσθητι καιρὸν λιμοῦ· ἐν καιρῷ πλησμονῆς· πτω
χείαν ς ἔνδειαν· ἐν ἡμέραις πλούτου· ἀπὸ
πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός·
καὶ πάντα ἐστὶ ταχινὰ ἔναντι κυ:—
περὶ ἐγκρατείας· ἐργάτης μέθυσος οὐ πλουτισθήσεται:— οἶνος
καὶ γυναῖκες· ἀποστήσουσι συνετούς:—
ὁ ταχὺ ἐμπιστεύων· κοῦφος καρδίᾳ· ς ὁ ἁμαρ
τάνων· εἰς ψυχὴν αὐτοῦ πλημμελήσει:—
βέλος πεπηγὸς ἐν μηρῷ σαρκός. οὕτως λόγος ἐν
κοιλίᾳ μωροῦ:— ἔλεγξον φίλον μήποτε
οὐκ ἐποίησεν· ς εἰ ἐποίησεν ἵνα μὴ προσθῇ:—
ἔλεγξον φίλον· πολλάκις γὰρ γίνεται διαβολή·
καὶ μὴ παντὶ λόγῳ πίστευε:—
ἔστιν ὀλισθαίνων. ς οὐκ ἀπὸ ψυχῆς· ς τίς οὐχ ἥ
μαρτεν ἐν γλώσσῃ αὐτοῦ:—
ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ· καὶ ἀπὸ ἀπαν
τήσεως προσώπου. ἐπιγνωσθήσεται νοήμων·
στολισμὸς ἀνδρός. ς γέλως ὀδόντων· ς βῆμα πο
δός. ἀναγγέλλει τὰ περὶ αὐτοῦ:— ὡς καλὸν
ἐλέγξαι ἢ θυμοῦσθαι· καὶ ὁ ἀνθομολογούμενος
ἀπὸ ἐλαττώσεως κωλυθήσεται:—

Ἐπιθυμία εὐνούχου. ἀποπαρθενῶσαι νεάνιδα·
οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα:—
Ἔστιν σιωπῶν. καὶ εὑρισκόμενος σοφός. καὶ ἔστιν
μισητός. ἀπὸ πολλῆς λαλιᾶς:— Ἔστι σιωπῶν.
οὐ γὰρ ἔχει ἀπόκρισιν· καὶ ἔστι σιωπῶν. εἰδὼς καιρόν:—
ἄνθρωπος σοφός, σιγήσει ἕως καιροῦ· ὁ δὲ λαπιστὴς καὶ
ἄφρων. ὑπερβήσεται καιρόν:—
Ἔστιν ἀγοράζων πολλὰ ὀλίγου· καὶ ἀποτιννύων αὐτὰ
ἑπταπλάσια:— δόσις ἄφρονος οὐ λυσιτελήσει
σοι· οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ, ἀνθ' ἑνὸς πολλοί·
ὀλίγα δώσει. καὶ πολλὰ ὀνειδίσει· καὶ ἀνοίξει τὸ
στόμα αὐτοῦ ὡς κῆρυξ· σήμερον δανιεῖ, καὶ αὔριον
ἀπαιτήσει· μισητὸς ἄνθρωπος ὁ τοιοῦτος:—
μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος· ἐν στόματι ἀπαιδεύτων.
ἐνδελεχισθήσεται:— αἱρετὸν κλέπτης. ἢ ὁ
ἐνδελεχίζων ψεύδει· ἀμφότεροι δὲ ἀπώλειαν κληρονομήσουσιν:—
Ὁ σοφὸς ἐν λόγοις. προάξει ἑαυτόν· καὶ ἄνθρωπος φρόνιμος.
ἀρέσει μεγιστᾶσιν:— Ὁ ἐργαζόμενος γῆν.
ἀνυψώσει θημωνίαν αὐτοῦ· καὶ ὁ ἀρέσκων μεγιστᾶσιν.
ἐξιλάσεται ἀδικίαν:—
Τέκνον· ἥμαρτες; μὴ προσθήσῃς ἔτι· καὶ περὶ τῶν προτέρων
σου δεήθητι· ὡς ἀπὸ προσώπου ὄφεως
φεῦγε ἀπὸ ἁμαρτίας· ἐὰν γὰρ προσέλθῃς, δήξεταί
σε· ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς· ἀναιροῦντες
ψυχὰς ἀνθρώπων· ὡς ῥομφαία δίστομος
πᾶσα ἀνομία· τῇ πληγῇ αὐτῆς οὐκ ἔστιν ἴασις:—
στόμα φρονίμου. ζητηθήσεται ἐν ἐκκλησίᾳ· καὶ τοὺς
λόγους αὐτοῦ διανοηθήσονται ἐν καρδίᾳ:—

ποὺς μωροῦ, ταχὺς εἰς οἰκίαν· ἄφρων ἀ-
πὸ θύρας παρακύπτει εἰς οἰκίαν· ἀνὴρ
δὲ πεπαιδευμένος, ἔξω στήσεται:—
ἀπαιδευσία ἀνθρώπου, ἀκροᾶσθαι παρὰ θύραν·
ὁ δὲ φρόνιμος, βαρυνθήσεται ἀτιμίαν:—
χείλη ἀλλοτρίων, ἐν τούτοις διηγήσονται·
λόγοι δὲ φρονίμων, ἐν ζυγῷ σταθήσονται:—
ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν· ἐν δὲ καρ-
δίᾳ σοφῶν, τὸ στόμα αὐτῶν:—
μουσικὰ ἐν πένθει, ἄκαιρος διήγησις· μά-
στιγες δὲ καὶ παιδεία, ἐν παντὶ καιρῷ σοφίας:—
πένθος νεκροῦ, ἑπτὰ ἡμέραι· μωροῦ δὲ καὶ
ἀσεβοῦς, πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ:
μετὰ ἄφρονος μὴ πληθύνῃς λόγον· καὶ πρὸς
ἀσύνετον μὴ πορεύου· φύλαξαι ἀπ' αὐτοῦ, ἵνα
μὴ κόπον ἔχῃς· ἔκκλινον ἀπ' αὐτοῦ, καὶ εὑ-
ρήσεις ἀνάπαυσιν:— ἄμμον καὶ ἅλας καὶ
σφαῖραν σιδήρου εὔκοπον ὑπενεγκεῖν.
ἢ ἄνθρωπον ἀσύνετον καὶ μωρόν:—
ὁ βάλλων λίθον ἐπὶ πετεινά, ἀποσοβεῖ αὐτά·
καὶ ὁ ὀνειδίζων φίλον, διαλύσει φιλίαν:—
ἐπὶ φίλον ἐὰν σπάσῃς ῥομφαίαν, μὴ ἀπελ-
πίσῃς· ἔστι γὰρ ἐπάνοδος· ἐπὶ φίλον ἐὰν
ἀνοίξῃς στόμα, μὴ εὐλαβηθῇς· ἔστι γὰρ δι-
αλλαγή· πλὴν ὀνειδισμοῦ καὶ ὑπερηφανίας·
καὶ μυστηρίου ἀποκαλύψεως, καὶ πληγῆς δολίας:—
τίς ἐπιστήσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας·
καὶ ἐπὶ τῆς καρδίας μου παιδείαν σοφίας, ἵνα

ἐπὶ τοῖς ἀγνοήμασί μου μὴ φείσωνται· ὅπως
μὴ πληθυνθῶσιν αἱ ἄγνοιαί μου. καὶ αἱ ἁμαρ
τίαι μου πλεονάσωσι· καὶ πέσωμαι ἔναν
τίον τῶν ὑπεναντίων. ϛ ἐπιχαρῆται μοι
ὁ ἐχθρός μου:— Ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα
σου· καὶ ὀνομασίαι τοῦ ἁγίου μὴ συνεθισθῇς.
ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς.
ἀπὸ μώλωπος οὐκ ἐλαττωθήσεται. οὕτως ὁ
ὀμνύων ϛ ὀνομάζων διαπαντός. ἀπὸ ἁμαρ
τίας οὐ μὴ καθαρισθῇ:— ἀνὴρ πολύορκος,
πλησθήσεται ἁμαρτίας. ϛ οὐκ ἀποστήσεται ἀπὸ
τοῦ οἴκου αὐτοῦ μάστιξ:— οὐδὲν κρεῖτ
τον φόβου θυ· ϛ οὐδὲν γλυκύτερον τοῦ προσέ
χειν ἐντολαῖς κυρίου:— τρία εἰσὶν
ἐν οἷς ὡραΐζομαι· ὁμόνοια ἀδελφῶν· καὶ φι
λία τῶν πλησίον· καὶ γυνὴ καὶ ἀνήρ, ἑαυτοῖς
συμπεριφερόμενοι:—
τρία εἴδη ἐμίσησεν ἡ ψυχή μου. ϛ προσώχθισα
σφόδρα τῇ ζωῇ αὐτῶν· πτωχὸν ὑπερήφα
νον· ϛ πλούσιον ψεύστην· καὶ γέροντα μοιχόν,
ἐλαττούμενον συνέσει:— μέγας ὁ εὑρὼν
σοφίαν· ἀλλ' οὐκ ἔστιν ὑπὲρ τὸν φοβούμενον
τὸν κν· φόβος γὰρ κυ, ὑπὲρ πᾶν ὑπερέβαλεν:—
οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως. καὶ
οὐκ ἔστι θυμὸς, ὑπὲρ θυμὸν ἐχθροῦ:—
συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδοκῶ. ἢ συνοικῆ
σαι μετὰ γυναικὸς πονηρᾶς:— πονηρία γυ
ναικὸς, ἀλλοιοῖ τὴν ὅρασιν αὐτῆς· ϛ σκοτοῖ τὸ

πρόσωπον αὐτῆς ὡς ἄρκος:— μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός· κλῆρος ἁμαρτωλοῦ ἐπιπέσοι αὐτῇ:— καρδία ταπεινή· καὶ πρόσωπον σκυθρωπόν· ϗ πληγὴ καρδίας, γυνὴ πονηρά:— ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας· ϗ δι' αὐτῆς ἀποθνήσκομεν ἅπαντες:—

Γυναικὸς ἀγαθῆς, μακάριος ὁ ἀνήρ· ϗ ἀριθμὸς ἡμερῶν αὐτοῦ διπλάσιος:— γυνὴ ἀνδρεία εὐφραίνει τὸν ἄνδρα αὐτῆς· καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ:— γυνὴ ἀγαθή, μερὶς ἀγαθή· καὶ ἐν μερίδι φοβουμένων κ̅ν̅ δοθήσεται:—

τὸν ἐπανάγοντα ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν· ὁ κ̅ς̅ ἑτοιμάσει εἰς ῥομφαίαν:— χάριν διαφόρου, πολλοὶ ἥμαρτον· καὶ ὁ ζητῶν πληθῦναι, ἀποστρέψει ὀφθαλμόν:— σκεύη κεραμέως, δοκιμάζει κάμινος· καὶ πειρασμὸς ἀ̅ν̅ου, ἐν διαλογισμῷ αὐτοῦ:— λέων, θήραν ἐνεδρεύει· ϗ ἁμαρτία, τοῖς ἐργαζομένοις ἄδικα:—

ὁ ἀποκαλύπτων μυστήρια, ἀπώλεσε πίστιν· καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ· στέρξον φίλον, καὶ πιστώθητι μετ' αὐτοῦ· ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυστήρια αὐτοῦ, μὴ καταδιώξῃς ὀπίσω αὐτοῦ:—

ὁ βάλλων λίθον εἰς ὕψος, ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει· καὶ ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται· ϗ ὁ ἱστῶν παγίδα, ἐν αὐτῇ ἁλώσεται· ϗ ὁ ποιῶν πονηρά, εἰς αὐτὸν κυλισθήσεται:—

ὁ ἐκδικῶν, παρὰ κ̅υ̅ εὑρήσει ἐκδίκησιν· καὶ τὰς ἁμαρτίας αὐτοῦ διατηρῶν, διατηρήσει:— ἄφες ἀδι

κήματι τοῦ πλησίον· καὶ τότε δεηθέντος σου·
αἱ ἁμαρτίαι σου λυθήσονται:— ἄνθρωπος ἀνθρώπῳ συν-
τηρεῖ ὀργὴν· καὶ παρὰ κυρίου ζητεῖ ἴασιν: ἐπ' ἄν-
θρωπον ὅμοιον αὐτοῦ, οὐκ ἔχει ἔλεος· καὶ περὶ τῶν
ἁμαρτιῶν αὐτοῦ δεῖται: αὐτὸς σὰρξ ὢν, δι-
ατηρεῖ μῆνιν· καὶ τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ:
μνήσθητι τὰ ἔσχατα. καὶ παῦσαι ἐχθραίνων· καταφ-
θορὰν καὶ θάνατον. καὶ ἔμμενε ἐν ταῖς ἐντολαῖς:—
ἀπόσχου ἀπὸ μάχης. καὶ ἐλαττώσεις ἁμαρτίας· ἄνθρωπος
γὰρ θυμώδης ἐκκαύσει μάχην· καὶ ἀνὴρ ἁμαρ-
τωλὸς, ταράξει φίλους· καὶ ἀναμέσον εἰρηνευόν-
των. ἐμβαλεῖ διαβολήν:— κατὰ τὴν ἰσχὺν τοῦ
ἀνθρώπου, ὁ θυμὸς αὐτοῦ ἔσται· καὶ κατὰ τὸν πλοῦτον αὐ-
τοῦ. ἀνυψώσει ὀργὴν αὐτοῦ:—
πληγὴ μάστιγος, ποιεῖ μώλωπα· πληγὴ δὲ γλώσσης,
συγκλάσει ὀστᾶ:— πολλοὶ ἔπεσον ἐν στόματι
μαχαίρας· πλῆθον οὐδὲ διὰ τῆς οἰκείας γλώσσης:—
θὲς τὸν θησαυρόν σου, κατ' ἐντολὰς ὑψίστου· καὶ λυσι-
τελήσει σοι μᾶλλον, ἢ τὸ χρυσίον:— σύγκλεισον ἐ-
λεημοσύνην ἐν τοῖς ταμείοις σου. καὶ αὕτη ἐξε-
λεῖταί σε ἐκ πάσης κακώσεως· καὶ ἔναντι
ἐχθρῶν. πολεμήσει ὑπὲρ σοῦ:— ἀνὴρ ἀγαθὸς,
ἐγγυήσεται τὸν πλησίον· ὁ δὲ ἀπολωλεκὼς αἰσχύνην,
ἐγκαταλείψει αὐτόν:— χάριτας ἐγγύου σου, μὴ
ἐπιλάθῃ· ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σοῦ:—
ἀγαθὰ ἐγγύου, ἀνατρέψει ἁμαρτωλός· καὶ ἀχάριστος
ἐν διανοίᾳ. ἐγκαταλείψει ῥυσάμενον:— ἐγγύη.
πολλοὺς ἀπώλεσε κατευθύνοντας· καὶ ἐσάλευσεν αὐτοὺς,
ὡς κῦμα θαλάσσης:—

ἁμαρτωλὸς ἐμπεσεῖται εἰς ἐγγύην· καὶ διώ-
κων ἔργον ἀσεβείας ἐμπεσεῖται εἰς κρίσιν:—
ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν· ϗ οὗ παροι-
κήσεις, οὐκ ἀνοίξεις στόμα:—
ἵππος ἀδάμαστος ἐκβαίνει σκληρός· καὶ υἱὸς ἀνει-
μένος ἐκβαίνει προαλής:— τιθήνησον
τέκνον, ϗ ἐκθαμβήσει σε· σύμπαιξον αὐτῷ,
καὶ λυπήσει σε:— μὴ συγγελάσῃς αὐτῷ, ἵνα
μὴ συνοδυνηθῇς· ϗ ἐπ' ἐσχάτων γομφιάσεις τοὺς
ὀδόντας σου:— μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεό-
τητι· θλάσον τὰς πλευρὰς αὐτοῦ, ἕως ἔστι
νήπιος· μήποτε σκληρυνθείς, ἀπειθήσῃ σοι:—
ὑγεία καὶ εὐεξία, κρείττων παντὸς χρυσίου· ϗ σῶμα
εὔρωστον, ἢ ὄλβος ἀμέτρητος:— οὐκ ἔστι πλοῦτος
βελτίων ὑγείας σώματος· ϗ οὐκ ἔστιν εὐφροσύ-
νη, ὑπὲρ χαρὰν καρδίας:— κρείσσων θάνα-
τος, ὑπὲρ ζωὴν πικράν· ϗ ἀνάπαυσις αἰῶ-
νος, ἢ ἀρρώστημα ἔμμονον:—
ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον ϗ στενά-
ζων, οὕτως ὁ ποιῶν ἐν βίᾳ πράγματα:—
κρεῖσσόν ἐστι σοῦ δεῖσθαι τῶν τέκνων σου, ἢ σὲ
ἐμβλέπειν εἰς χεῖρας αὐτῶν· ἐν ἡμέρᾳ συντε-
λείας ἡμερῶν ζωῆς σου· ϗ ἐν καιρῷ τελευτῆς,
δὸς αὐτοῖς κληρονομίαν:—
κεναὶ ἐλπίδες ϗ ψευδεῖς, ἀσυνέτῳ ἀνδρί· καὶ ἐνύ-
πνια ἀναπτεροῦσιν ἄφρονας:— ὡς ὁ δρασ-
σόμενος σκιᾶς· ϗ διώκων ἀνέμους, οὕτως ὁ
προσέχων ἐνυπνίοις· μὴ δῷς εἰς αὐτὰ τὴν

καρδίαν σου· πολλοὺς γὰρ ἐπλάνησε τὰ ἐνύπνια· καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς:—

ἀνὴρ πεπλανημένος ἔγνω πολλά· καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν· ὃς γὰρ οὐκ ἐπειράσθη, ὀλίγα οἶδεν:— Φοβουμένου τὸν κν̄ μακαρία ἡ ψυχή· καὶ οἱ ὀφθαλμοὶ κῡ ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν:—

οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν· οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας:—

θύων υἱὸν ἔναντι πρ̄ς αὐτοῦ, ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων:—

Βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλιν ἀπτόμενος αὐτοῦ, τί ὠφέλησεν ἐν τῷ λουτρῷ αὐτοῦ· οὕτως ἄνος νηστεύων ἐπὶ τῶν ἁμαρτιῶν αὐτοῦ· καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν· τῆς προσευχῆς αὐτοῦ, τίς εἰσακούσεται· καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν:—

ὡραῖον ἔλεος ἐν καιρῷ χρείας αὐτοῦ, ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας:—

μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος· καὶ ὃς ὀπίσω χρυσίου οὐκ ἐπορεύθη· στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ· καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία:—

ὡς ἱκανὸν ἀνῳ πεπαιδευμένῳ τὸ ὀλίγον· καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ, οὐκ ἀσθμαίνει:— ὕπνος ὑγείας ἐπὶ ἐντέροις μετρίοις· ἀνέστη πρωΐ· καὶ ἡ ψυχὴ αὐτοῦ μετ' αὐτοῦ:— πόνος ἀγρυπνίας καὶ χολέρας καὶ στρόφος, μετὰ ἀνδρὸς ἀπλήστου:—

ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής. ϗ πᾶν
ἀρρώστημα οὐ μή σοι ἀπαντήσει:—
ἐν οἴνῳ μὴ ἀνδρίζου· πολλοὺς γὰρ ἀπώλεσεν ὁ
οἶνος:— κάμινος, δοκιμάζει στόμωμα ἐν βα
φῇ· οὕτως οἶνος καρδίας, ἐν μάχῃ ὑπερηφάνων:—
ἀγαλλίαμα καρδίας καὶ εὐφροσύνη ψυχῆς, οἶνος
πινόμενος ἐν καιρῷ αὐτάρκης:— πικρία
ψυχῆς, οἶνος πινόμενος πολύς· πληθύνει
μέθην· θυμὸν ἄφρονος εἰς πρόσκομμα:—
ἡγούμενόν σε κατέστησαν, μὴ ἐπαίρου· γίνου ἐ
ν αὐτοῖς, ὡς εἷς ἐξ αὐτῶν· φρόντισον αὐτῶν,
καὶ οὕτως κάθισον· καὶ πᾶσαν τὴν χρείαν
σου ποιήσας, ἀνάπεσε· ἵνα εὐφρανθῇς δι' αὐ
τούς· ϗ εὐκοσμίας χάριν, λάβῃς τὸν στέφανον:—
ἄνθρωπος ἁμαρτωλὸς, ἐκκλίνει ἐλεγμόν· ϗ κατὰ
τὸ θέλημα αὐτοῦ, εὑρήσει σύγκριμα:—
ἄνευ βουλῆς, μηδὲν ποίει· ϗ ἐν τῷ ποιῆσαί σε,
μὴ μεταμελοῦ:— ἀνὴρ βουλῆς, οὐ μὴ παρίδῃ
διανόημα· ἀλλότριος δὲ ϗ ὑπερήφανος,
οὐ καταπτήξει φόβον:— ἀρχὴ παντὸς
ἔργου, λόγος· ϗ πρὸ πάσης πράξεως, βουλή:—
δι' ἀπληστίαν, πολλοὶ ἐτελεύτησαν· ὁ δὲ προσέχ.
προσθήσει ζωήν:— ἀπὸ λύπης ἐκβαίνει
θάνατος· ϗ λύπη καρδίας, κάμψει ἰσχύν:—
ἐν ἐπαγωγῇ, παραμένει λύπη· καὶ βίος πτωχοῦ
κατὰ καρδίας:— μὴ δῷς εἰς λύπην τὴν
καρδίαν σου· ἀπόστησον αὐτήν· μνησθεὶς τὰ ἔ
σχατα· μὴ ἐπιλανθάνου· οὐ γὰρ ἔστιν ἐπάνοδος:—

ἀδελφοὶ καὶ βοήθεια. εἰς καιρὸν θλίψεως·
καὶ ὑπὲρ ἀμφότερα, ἐλεημοσύνη ῥύσεται: —
χρυσίον καὶ ἀργύριον ἐπιστήσουσι πόδας. καὶ
ὑπὲρ ἀμφότερα. βουλὴ εὐδοκιμεῖται: —
χρήματα καὶ ἰσχύς, ἀνυψώσουσι καρδίαν· καὶ ὑ-
πὲρ ἀμφότερα. φόβος κ̅υ̅· οὐκ ἔστιν ἐν φόβῳ
κ̅υ̅ ἐλάττωσις. ϗ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐ-
τῷ βοήθειαν· φόβος κ̅υ̅. ὡς παράδεισος εὐ-
λογίας· καὶ ὑπὲρ πᾶσαν δόξαν ἐκάλυψεν αὐτόν:
φρόντισον περὶ ὀνόματος· αὐτὸ γάρ σοι διαμενεῖ.
ἢ χίλιοι μεγάλοι θησαυροὶ χρυσίου: —
ἀγαθῆς ζωῆς. ἀριθμὸς ἡμερῶν· ϗ ἀγαθὸν ὄνομα.
εἰς αἰῶνα διαμενεῖ: —
σοφία κεκρυμμένη καὶ θησαυρὸς ἀφανής, τίς
ὠφέλεια ἐν ἀμφοτέροις· κρείσσων ἄνθρωπος
ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ. ἢ ἄνθρωπος ἀπο-
κρύπτων τὴν σοφίαν αὐτοῦ: —
παντὶ ἀνθρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει· καὶ ἐν μέσῳ
γυναικῶν μὴ συνέδρευε· ἀπὸ γὰρ ἱματίων
ἐκπορεύεται σής· ϗ ἀπὸ γυναικὸς πονηρία
γυναικός· κρείσσων πονηρία ἀνδρός, ἢ ἀγαθοποιὸς γυνή: —
ἔδωκε κ̅ς̅ γλῶσσάν μοι μισθόν μου· ϗ ἐν αὐτῇ αἰ-
νέσω αὐτόν· ἐγγίσατέ μοι ἀπαίδευτοι. καὶ
αὐλίσθητε ἐν οἴκῳ παιδείας· τὸν τράχηλον
ὑμῶν ὑπόθετε ὑπὸ ζυγόν· ϗ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν
παιδείαν· ἐγγύς ἐστιν εὑρεῖν αὐτήν· ἴδετε ἐν ὀφθαλ-
μοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα· ϗ εὗρον ἐμαυτῷ πολ-
λὴν ἀνάπαυσιν: — ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ.
καὶ δώσει τὸν μισθὸν ὑμῶν. ἐν καιρῷ αὐτοῦ: —



B.E.

+ ἰστέον καὶ [illegible] διάκονοι [illegible] ἐν [illegible]
καὶ [illegible] ἱλασ[illegible] · [illegible]
[illegible] λαόν, ὅτι [illegible]
[illegible] · [illegible]
[illegible] · ἀλλὰ [illegible]
[illegible] τὸν χει[illegible] · καὶ δι[illegible]
[illegible] πύλαις, [illegible]
[illegible]
[illegible]
[illegible]
φ[illegible]
[illegible] · καὶ
[illegible] ὡς ἀληθῶς [illegible]
[illegible]
[illegible] πλαῖς · ἀλλὰ καὶ [illegible]
[illegible] καθ[illegible]
[illegible] καθ[illegible]
[illegible] · ὡς [illegible] φιλαν[illegible]
[illegible] πλαῖς · ὅτε [illegible]
[illegible] +

B.E.
cc. 199

Œ. 111
Ms. ~~H. D. 12.~~
α. P. 5, 3
cc. 199